ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΘΕΟΔΩΡΟΣ
ΜΟΨΟΥΕΣΤΙΑΣ
(ΜΕΡΟΣ Β΄)

87

© Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος
Ἰασίου 1, 115 21 Ἀθήνα, τηλ. 210.7272.381, fax 210.7272.380
e-mail: sellsbooks@apostoliki-diakonia.gr
http://www.apostoliki-diakonia.gr
Ἔκδοσις Α΄ 2007

Κ.Α. 99.02.087
ISBN 960-315-582-9
ISSN 1106-5303

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

*ΒΡΑΒΕΙΟΝ ΑΚΑΔΗΜΙΑΣ ΑΘΗΝΩΝ*

ΤΟΜΟΣ ΟΓΔΟΗΚΟΣΤΟΣ ΕΒΔΟΜΟΣ

# ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ
## (ΜΕΡΟΣ Ε΄)

Γενικὴ Ἐπιστασία καὶ Ἐπιμέλεια
ΗΛΙΑ Δ. ΜΟΥΤΣΟΥΛΑ
Ὁμοτίμου Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν

Ἐπιμεληταὶ
ΓΕΩΡΓΙΑ Π. ΚΟΥΝΑΒΗ
Δρ. ΔΗΜΗΤΡΙΟΣ Χ. ΚΑΛΛΙΝΤΕΡΗΣ
Θεολόγοι

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 2007

# ΠΕΡΙΕΧΟΜΕΝΑ

## ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ (ΜΕΡΟΣ Ε′)

### ΚΕΙΜΕΝΑ


Πρόλογος εἰς τὰς Πράξεις τῶν Ἀποστόλων
[Κατὰ τὴν ἔκδοσιν E. von Dobschütz, A hitherto unpublished Prologue to the Acts of the Apostles (probably by Theodor of Mopsuestia), ἐν The American Journal of Theology 2 (1898), σσ. 357-362] ........ 11

Σχόλια εἰς τὴν πρὸς Ρωμαίους Ἐπιστολὴν
[Κατὰ τὴν ἔκδοσιν K. Staab, Pauluskommentare aus der griechischen Kirche (Neutestamentliche Abhandlungen XV), Münster 1933, σσ. 113-172 (J. - P. Migne PG 66,787-876)] ........ 17

Σχόλια εἰς τὰς Α′ καὶ Β′ πρὸς Κορινθίους Ἐπιστολὰς
[Κατὰ τὴν ἔκδοσιν K. Staab, Pauluskommentare aus der griechischen Kirche (Neutestamentliche Abhandlungen XV), Münster 1933, σσ. 172-200 (J. - P. Migne, PG 66,877-897)] ........ 91

Σχόλια εἰς τὰς Ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου
[Κατὰ τὴν ἔκδοσιν H. B. Swete, Theodori episcopi Mopsuesteni in epistolas B. Pauli commentarii, τ. 1 Galatians - Colossians, σσ. 5-311, τ. 2 Thessalonians - Philemon, σσ. 2-281, Cambridge 1880-1882, 1969[2] (J. - P. Migne, PG 66,897-949)] ........ 126

Σχόλια εἰς τὴν πρὸς Ἑβραίους Ἐπιστολὴν
[Α′ Κατὰ τὴν ἔκδοσιν K. Staab, Pauluskommentare aus der griechischen Kirche (Neutestamentliche Abhandlungen XV), Münster 1933, σσ. 200-212 (J. - P. Migne, PG 66,952-968)] ........ 180

[Β′ Κατὰ τὴν ἔκδοσιν J. - P. Migne, Patrologiae cursus completus, series graeca, τ. 86, Paris 1865, στ. 1059] ............. 195
Δογματικὰ ἀποσπάσματα
[Κατὰ τὴν ἔκδοσιν H. B. Swete, Theodori episcopi Mopsuesteni in epistolas B. Pauli commentarii, τ. 2, Cambridge 1882, 1969², σσ. 293-339 (J. - P. Migne, PG 66,972-1013)] ........ 196
Πρὸς τὰς κατὰ χριστιανῶν κατηγορίας Ἰουλιανοῦ Βασιλέως
[Α′ Κατὰ τὴν ἔκδοσιν A. Guida, Teodoro di Mopsuestia. Replica a Giuliano Imperatore (Biblioteca Patristica 24), Firenze 1994, σσ. 70-125 (J. - P. Migne, PG 66,716-728) .............. 215
[Β′ Κατὰ τὴν ἔκδοσιν A. Guida, Un nuovo frammento della replica a Giuliano di Teodoro di Mopsuestia, ἐν Bolletino della badia greca di Grottaferrata 53 (1999) σσ. 60-61]....................... 226

ΝΟΘΑ

Ἴσον τῆς ἐκθέσεως τοῦ παραπλασθέντος συμβόλου
[Κατὰ τὴν ἔκδοσιν H. B. Swete, Theodori episcopi Mopsuesteni in epistolas B. Pauli commentarii, τ. 2, Cambridge 1882, 1969², σσ. 327-332 (J. - P. Migne, PG 66,1016-1020) ....... 228
Θεοδώρου τοῦ ἐκπεπτωκότος ἀντίγραμμα πρὸς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν καὶ οἰκουμενικὸν διδάσκαλον Ἰωάννην τὸν Χρυσόστομον
[Κατὰ τὴν ἔκδοσιν J. Dumortier, Saint Jean Chrysostome. À Théodore (Sources Chrétiennes 117), Paris 1966, σσ. 220-238 (J. - P. Migne, PG 48,1063-1066)] ....................................... 231

ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ .......................... 239

ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ ................. 251

# ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ

# ΠΡΟΛΟΓΟΣ ΕΙΣ ΤΑΣ ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ*

**357** 1. Πάλαι καὶ πρόπαλαι Θεοῦ χάριτι τὴν εἰς τὸ Εὐαγγέλιον τοῦ μακαριωτάτου Λουκᾶ ἑρμηνείαν συμπεπληρώκαμεν, ἥσπερ οὖν καὶ τὴν βίβλον, καθὰ προσέταξας διὰ τοῦ γράμματος, οὐθὲν ἐνδοιάσαντες ἀπεστάλκαμεν, ὦ θαυμασιώτατε καὶ πάντων ἐμοὶ προσφιλέστατε ἐπισκόπων Εὐσέβιε, τῷ μακαρίῳ Εὐσεβίῳ κατὰ τόνδε στρεφομένῳ τὸν βίον ἐπὶ τῆς συγγραφῆς ἐκείνης ἐκτίσαντες τὸ χρέος, ὃς οὐ προσηγορίαν σοι μόνον ἔσχε τὴν αὐτήν, ἀλλὰ καὶ ἀρετῆς ἐπιμέλειαν· καὶ μὴν καὶ διάδοχόν σε τῆς ἐκκλησιαστικῆς προεδρίας ἐδέξατο. Γέγονε δὲ ὑμῖν ἴση καὶ ἡ περὶ τὰς θείας Γραφὰς σπουδή, ὥστε καὶ [ἡ] περὶ τοὺς τοῦ μακαρίου Λουκᾶ πόνους, οὓς ἐπὶ τῆς πρὸς Θεόφιλον ἐπεδείξατο συγγραφῆς, τό τε Εὐαγγέλιον καὶ τὰς τῶν Ἀποστόλων Πράξεις ἐπὶ προσώπου ἐκείνου συνθείς, παραπλησίαν ὑμῖν τὴν ἐπιθυμίαν γενέσθαι· ἐκεῖνός τε γὰρ τὴν εἰς τὸ Εὐαγγέλιον ἑρμηνείαν ἤτησε παρ᾽ ἡμῶν ὡς ἑξῆς γε ‹καὶ› περὶ τῶν Ἀποστολικῶν Πράξεων δεησόμενος ἡμῶν· αὐτός τε τῆς εὐαγγελικῆς ἑρμηνείας περὶ [τῆς] πλείστου θέμενος τὴν κτῆσιν ὡς ἂν λείπουσαν ἐπ᾽ αὐτοῖς τῶν Ἀποστολικῶν Πράξεων τὴν ἐξήγησιν ἤτησας παρ᾽ ἐμοῦ γενέσθαι.

2. Τὴν μὲν οὖν συγγραφὴν ταύτην ὅτι γε ὁ μακάριος πεποίηται Λουκᾶς, οὐ χαλεπὸν συνιδεῖν τῷ γε μὴ παρέργως ταῖς θείαις ἐντυγχάνοντι βίβλοις. Καλῶς δ᾽ ἂν ἔχοι καὶ παρ᾽ ἡμῶν τὸν τοῦ βιβλίου ἐκ ‹τε› θῆναι σκοπόν. Τὰ μὲν γὰρ Εὐαγγέλια ἀκριβῆ τῆς κατὰ Χριστὸν οἰκονομίας τε καὶ πολιτείας παρέχεται τὴν γνῶσιν ἡμῖν· τίνα μὲν τὸν τρόπον ἐτέχθη, τίνα δὲ ‹τὰ› περὶ τὴν γέννησιν αὐτοῦ γεγονότα, ὅπως τε ὑπὸ τῆς τοῦ νόμου πολιτείας ἄχρι τῆς τριακονταετοῦς ἡλικίας μετὰ πολλῆς διαγεγονὼς τῆς ἀκριβείας προσελήλυθε τῷ Βαπτίσματι κατὰ πρωτοτύπωσιν τῆς **358** Και-

* Κατὰ τὴν ἔκδοσιν E. von Dobschütz, A hitherto unpublished Prologue to the Acts of the Apostles (probably by Theodor of Mopsuestia), ἐν The American Journal of Theology 2 (1898), σσ. 357-362.

νῆς ἀπαρχόμενος Διαθήκης, ἧς ἔργον μὲν ἡ ἀνάστασις, τὸ χριστιανικὸν δὲ Βάπτισμα τύπος, ἅτε θανάτου καὶ ἀναστάσεως ἔχον σύμβολα κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν [σοὶ] λέγουσαν· «‹Ὅσοι› ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ Βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτως καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν· εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα»[1]. Οὐ γὰρ ἄδηλον ὅτι ἐν τῷ Βαπτίσματι, ὅπερ ὁ Δεσπότης ἐβαπτίσθη Χριστός, τὸ ἡμέτερον ἀπετελεῖτο Βάπτισμα, ὅπερ οὖν καὶ βαπτίζειν τοῖς Ἀποστόλοις τοὺς κατὰ τὴν οἰκουμένην προσέταξεν ἀνθρώπους, ἀφ' οὗ δὴ καὶ αὐτὸς ἔξω τῆς κατὰ νόμον γεγονὼς πολιτείας τὸν εὐαγγελικὸν ἐπεδείκνυτο βίον, μαθητάς τε ἐκλεξάμενος οὓς πρέπειν ᾤετο τῇ διδασκαλίᾳ ταύτῃ καὶ νόμους ἐκθέμενος τοὺς τῷ τοιούτῳ μάλιστα ἁρμόττοντας βίῳ· οὕτως τε αὐτοὺς διὰ θαυμάτων καὶ λόγων πράξεών τε ποικίλων δεκτικοὺς ἀποτελέσας τῆς τοῦ Ἁγίου Πνεύματος χάριτος, ὑφ' ἧς δὴ μάλιστα πᾶσάν τε σὺν ἀκριβείᾳ τὴν γνῶσιν ἐδέξαντο καὶ πρὸς τὴν τῆς οἰκουμένης ἤρκεσαν διδασκαλίαν, ὡς αὐτὸς ὁ Κύριος ἐν μὲν τοῖς Εὐαγγελίοις, «ἔτι (φησί) πολλὰ ἔχω εἰπεῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν»[2], ἐν δὲ ταῖς Πράξεσι τῶν Ἀποστόλων, «ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς»[3]. Ἅπασι δὲ τούτοις ὥσπερ τινὰ κορωνίδα τὴν Ἀνάστασιν ἐπιτέθεικεν μήνυμα οὖσαν τῆς κοινῆς ἀναστάσεως τῶν ἀνθρώπων, μάλιστα **359** δὲ τῆς καινῆς κτίσεως, καθ' ἣν ἅπασα ἡ κτίσις σὺν τοῖς ἀνθρώποις ἀνακτίζεσθαι ἤμελλεν· «Εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά»[4]. Ἀλλὰ ταύτην μὲν ἐκ τῶν Εὐαγγελίων μεμαθήκαμεν ἀκριβῶς, ὅτε ἀναστὰς ἀπὸ τῶν νεκρῶν ὁ Δεσπότης Χριστὸς προσέταξε τοῖς ἑαυτοῦ μαθηταῖς παραδοῦναι μὲν πᾶσιν ἀνθρώποις τὴν ἐπ' αὐτὸν

**1.** Ρωμ. 6,3-5. **2.** Ἰω. 16,12-13. **3.** Πράξ. 1,8. **4.** Β' Κορ. 5,17.



πίστιν· «Μαθητεύσατε αὐτοὺς βαπτίζοντες εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[1], διδάξαι δὲ ὅπως ἂν ἅπαντα σὺν ἐπιμελείᾳ φυλάττοιεν ἃ προσέταξεν[2]. Ἐλείπετο δὲ μαθεῖν ἡμᾶς λοιπὸν τίνα τὸν τρόπον ἀγαγεῖν εἰς πέρας ταῦτα τοῖς μαθηταῖς ἐγένετο δυνατόν, ἐπεὶ καὶ ἄγαν καινὸν ἦν καὶ παντελῶς ἄπιστον τὸ ἁλιέας ἀνθρώπους, ἐν ἀγρῷ τεχθέντας, τῆς Σύρων γλώττης ἐπιστήμονας μόνης, παντελῶς ἰδιώτας, δώδεκα ὄντας τὸν ἀριθμόν, οὕτως ἀπιθάνου λόγου τὴν οἰκουμένην πληρῶσαι, ὅτι ἄνθρωπος ἐν Ἰουδαίᾳ σταυρωθεὶς ἀπὸ νεκρῶν ἀνέστη πᾶσιν ἀνθρώποις ἐγγυώμενος τὴν ἀνάστασιν.

3. α. Τούτου γε ἕνεκεν ὁ μακάριος Λουκᾶς τήνδε τὴν βίβλον ἐπὶ τῇ τοῦ Εὐαγγελίου γραφῇ συνέθηκεν ἡμῖν διδάσκων μὲν ὅπως εἰς τοὺς οὐρανοὺς ἀνελήλυθεν ὁ Δεσπότης Χριστός[3], ὅπως τε κατελήλυθεν ἐπὶ τοὺς Ἀποστόλους τὸ Πνεῦμα τὸ Ἅγιον[4], τίνα δὲ τὸν τρόπον τῇ τούτου χάριτι δυνατὸν ἐγένετο τὴν οἰκουμένην ἅπασαν τῆς τοῦ Χριστοῦ διδασκαλίας πλήρη γενέσθαι ἥτινί τε τάξει μετὰ πολλῆς τῆς σοφίας εἴργασται ταῦτα ὁ Θεός, πρότερον μὲν Ἰουδαίους τῇ εὐσεβείᾳ προσαγαγών[5], ὡς ἂν μὴ ἐναντία τις οὖσα καὶ πολεμία τῇ διατάξει τοῦ νόμου ἤτοι τῷ ἐκθέντι τὸν νόμον Θεῷ ἡ κατὰ Χριστὸν ἐπιδημία τε φαίνοιτο καὶ πίστις, μετ' ἐκεῖνο δὲ ἀπορρήτοις οἰκονομίαις ἐπὶ τοὺς λοιποὺς ἀνθρώπους τῆς εὐσε**360**βείας τὴν παίδευσιν ἐκβαλὼν πολλοῖς τισι καὶ ποικίλοις ἄγαν τοῖς τρόποις. Καὶ πρῶτον μὲν τῷ διασπαρῆναι πολλοὺς τῶν εὐσεβῶν ἀπὸ τῶν περὶ τὸν Στέφανον γεγονότων[6]· ἀφ' οὗ δὴ Φίλιππος μὲν Σαμαρείταις τε παραδέδωκε τὴν εὐσέβειαν[7] καὶ τὸν ἐξ Αἰθιοπίας εὐνοῦχον ἐδίδαξε ταύτην[8]. Κύπριοι δέ τινες καὶ Κυρηναῖοι μέχρι τῆς Ἀντιοχείας γεγόνασιν οὐχ Ἰουδαίους μόνον ἀλλὰ καὶ Ἕλληνας τὰ κατὰ Χριστὸν ἐκδιδάσκοντες[9]· ἃ δὴ μαθόντες οἱ κατὰ τὴν Ἰουδαίαν ἐξεπλάγησάν τε ἐπὶ τῷ γεγονότι καὶ τὸν Βαρνάβαν ἀπέστειλαν[10], ὃς ἐβεβαίωσε μὲν τοῖς οἰκείοις λόγοις τὰ πρό-

**1.** Ματθ. 28,19. **2.** Πρβλ. Ματθ. 28,20. **3.** Πρβλ. Πράξ. 1,9-10. **4.** Πρβλ. Πράξ. 2,1 ἑξ. **5.** Πρβλ. Ρωμ. 1,16. Πράξ. 13,46. **6.** Πρβλ. Πράξ. 8,1,4. **7.** Πρβλ. Πράξ. 8,5 ἑξ. **8.** Πρβλ. Πράξ. 8,26 ἑξ. **9.** Πρβλ. Πράξ. 11,19 ἑξ. **10.** Πρβλ. Πράξ. 11,22.

σθεν, παραλαβὼν δὲ τὸν Παῦλον[1] σύνεργον τοῦ λόγου πλείονι διδασκαλίᾳ σὺν ἐκείνῳ παρεσκεύασε ἐπὶ τῆς Ἀντιοχείας πρῶτον Χριστιανοὺς χρηματίσαι τοὺς μαθητὰς εἰς ἔνδειξιν τοῦ τότε νόμου καὶ τοῖς λοιποῖς ἀντειπομένοις πᾶσι τῷ Χριστῷ προσανέχειν ‹βούλ›εσθαι μόνον. Καὶ ἔσω δὲ τούτων τοὺς περὶ Κορνήλιον[2] ἐξ ἐθνῶν διὰ τοῦ μακαρίου Πέτρου τῷ τῆς εὐσεβείας λόγῳ προσήγαγεν ἡ θεία τοῦ Ἁγίου Πνεύματος χάρις δι' ἐναργῶν ἀποδείξεων καὶ φοβερῶν ἄγαν δῆλον ἅπασιν ἐργασαμένη τοῦτο δὴ περὶ τῶν ἐθνῶν τῷ Θεῷ δεδέχθαι[3], ὡς μηδὲ τοῖς ἐρίζειν ἀπὸ τῶν Ἰουδαίων πρὸς ταῦτα ἐθέλουσιν ἀντιλογίας καταλειφθῆναι τόπον.

β. Πολλοῖς μὲν οὖν, ὡς ἔφην, τρόποις ἐχρήσατο ὁ Θεὸς πρὸς τοῦτο, οὓς οὐχ ἅπαντας μὲν ἐν τοῖς νῦν καταλέγειν καιρός, ἐν δὲ τοῖς κατὰ μέρος εἰσόμεθα μᾶλλον. Ἐσχάτῳ δὲ καὶ μεγίστῳ τῷ ἀπ' αὐτοῦ γε τοῦ νόμου τὸν θερμότατον μὲν αὐτοῦ συνήγορον, πολεμιώτατον δὲ τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ, τὸν μακάριον λέγω Παῦλον[4], μετὰ πάσης ἐκσπάσαι τε τῆς βίας καὶ πρὸς τὴν οἰκείαν **361** ἐπίγνωσιν ἀγαγεῖν, ὡς θερμότατον μὲν κήρυκα τοῦ Χριστοῦ κατὰ πάσης γενέσθαι τῆς οἰκουμένης, ὑπερβαλεῖν δὲ ἅπαντας τῇ περὶ τούτου σπουδῇ, μετὰ πολλῆς τε τῆς προθυμίας ἑλέσθαι πᾶν ὁτιοῦν ποιῆσαι καὶ παθεῖν, ὡς ἅπαντας διδάξειν ἀνθρώπους ἁπάντων δὴ ἀφεμένους τῶν λοιπῶν Χριστὸν ἡγήσασθαι Σωτῆρά τε καὶ πάντων αὐτοῖς αἴτιον τῶν ἀγαθῶν. Τοιούτου γὰρ ἔδει[5] διδασκάλου τοῖς ἔθνεσιν[6], ὃς ἐξ ἀσεβοῦς καὶ παρανόμου γνώμης χάριτι προδήλως σωθεὶς προθύμως ἤμελλε τοῖς ἔθνεσι χάριτι σωζομένοις[7] παραδιδόναι τὴν εὐσέβειαν.

γ. Πολλῶν μὲν οὖν καὶ μάλα γε ἀναγκαίων ὁ μακάριος Λουκᾶς καθέκαστα διήγησιν καὶ ὠφέλιμον τοῖς εὐσεβείᾳ προσανέχειν ἐσπουδακόσι διδασκαλίαν πεποίηται. Ἐφ' ἅπασι δὲ ἐκεῖνο μάλιστα διὰ τῆς παρούσης ἡμᾶς ἐδίδαξε γραφῆς, ὅπως ταῖς ἀπορρήτοις οἰκονομίαις τε καὶ διατάξεσι τοῦ Ἁγίου Πνεύματος συνέστη τὸ δὴ χρῆναι παρὰ πᾶσιν ἀνθρώποις τὴν κατὰ Χριστὸν

**1.** Πρβλ. Πράξ. 11,25. **2.** Πρβλ. Πράξ. 10,1 ἑξ. **3.** Πρβλ. Πράξ. 10,44. **4.** Πρβλ. Γαλ. 1,13-14. Φιλιπ. 3,6. **5.** Πρβλ. Ἑβρ. 7,26. **6.** Πρβλ. Γαλ. 1,15-16. **7.** Πρβλ. Ἐφ. 2,5.



πολιτείαν τε καὶ ἀγωγὴν δί‹χ›α τῆς νομικῆς παρατηρήσεως ἁπάσης κρατεῖν. Τούτου δὴ τοῦ λόγου κατὰ τὴν γεγονυῖαν αὐτῷ τοῦ Ἁγίου Πνεύματος χάριν ὁ μακάριος προέστη Παῦλος. Ἐπειδὴ γὰρ διὰ τῶν Ἀποστόλων Ἰουδαίους προσαχθῆναι τῇ εὐσεβείᾳ γέγονεν εἰς ἔνδειξιν τῆς πρὸς τὸν νόμον οἰκειότητος τῶν κατὰ Χριστόν, ὡς ἔφην, μένειν τε ἐκείνους ἐπὶ τῆς νομικῆς ἀγωγῆς ἦν ἀνάγκη, ὡς ἂν μὴ μεταβαλόμενοι τοῦ πρόσθεν λόγου τοὺς ἐξ Ἰουδαίων προσεληλυθότας ἀποστήσειαν τῆς εὐσεβείας, ἀναγκαίως τὸν μακάριον ἐπὶ τοῦτο Παῦλον ἡ θεία προεχειρίσατο χάρις, κεχωρισμένως δίχα τῆς νομικῆς παρατηρήσεως κηρύττοντα τοῖς ἔθνεσι τὴν εὐσέβειαν[1]· ᾧ δὴ καὶ τοὺς Ἀποστόλους σὺν τοῖς κατὰ τὴν Ἰουδαίαν ἅπασι μετὰ τῆς προσηκούσης τάξεως συμψήφους γενέσθαι παρεσκεύασε τὸ Πνεῦμα τὸ Ἅγιον[2]. Καὶ γὰρ ἐποίει πρὸς ταύτην μάλιστα τὴν διδασκαλίαν αὐτὸν ἀξιόπιστον τὸ διώκτην ὄντα πρότερον καὶ φονῶντα κατὰ τῶν **362** Χριστοῦ μαθητῶν ἐπὶ τὴν εὐσέβειαν μεταστῆναι, οὐκ ἄν γε αὐτοῦ ‹τοῦ› τοσαῦτα ὑπὲρ τοῦ νόμου πρότερον κατὰ τῆς εὐσεβείας τετολμηκότος νῦν ταῦτα ἀντ' ἐκείνων ἑλομένου διδάξαι ‹τε καὶ› χωρίσαι παντελῶς τῆς τοῦ νόμου πολιτείας τὴν Χριστοῦ μαθητείαν, εἰ μὴ ὑπ' αὐτῆς βιασθεὶς τῆς ἀληθείας ἀπέστη μὲν τῶν προτέρων, ἐπὶ ταύτην δὲ μετέστη. Διὰ τοῦτο καὶ ὁ Λουκᾶς πρότερον μὲν αὐτοῦ τὴν κατὰ τῆς εὐσεβείας ὑπὲρ τοῦ νόμου γνώμην ἐκτίθεται· μετ' ἐκεῖνο δὲ τὴν κλῆσιν τά τε ὑπὲρ τῆς εὐσεβείας παρ' αὐτοῦ γεγονότα λέγει καθεξῆς, τίνα τε τὸν τρόπον τοῖς ἔθνεσιν ἄχρι τῆς Ῥώμης γεγονὼς παρέδωκε τὴν εὐσέβειαν.

4. Οὐ μικρὸν μέντοι τοῦ βιβλίου μέρος εἰς τὴν περὶ τούτων ἀναλώσας διήγησιν, οὕτω δὲ τὴν ὅλην συμπεράνας γραφήν, ὡς ἂν ἔχοιμεν ἐξ αὐτῆς εἰδέναι, ὅπως μὲν ἀπὸ Ἰουδαίων ὁ τῆς εὐσεβείας ἤρξατο λόγος, ὅπως δὲ ἐπὶ τὰ ἔθνη μετελήλυθεν ἐξ ἐκείνων δίχα τῆς τοῦ νόμου τηρήσεως ὑποδεξάμενα τὴν εὐσέβειαν, κατὰ δὴ τοῦτον τὸν σκοπὸν τὴν παροῦσαν ἡμῖν ἐκτίθεται βίβλον, ἥνπερ οὖν ἑρμηνεῦσαι προθέμενοι νῦν πειρασόμεθα, ὡς ἂν ἡ θεία χάρις διδῷ, οὐ τῆς σαφηνείας μόνον ἀλλὰ καὶ τῆς συντομίας τὴν ἐνδεχομένην

**1.** Πρβλ. Πράξ. 15,1 ἑξ. **2.** Πρβλ. Πράξ. 15,28.

ποιήσασθαι φροντίδα, τούτου γε ἕνεκεν πάντα μὲν διεξιόντες, ὡς ἂν μὴ τὸ τῆς ἑρμηνευομένης βίβλου διατέμοιμεν σῶμα, οὐχ ἁπάσας δὲ ἐκτιθέντες τὰς λέξεις, εἶτα τὴν καθ' ἕκαστον ἐπάγοντες ἑρμηνείαν, ὥστε μὴ πρὸς μῆκος ἐκτεῖναι τὴν συγγραφήν, ἀλλὰ καὶ πολλαχοῦ μὲν τῶν ἀποστολικῶν μνησθέντες διαλέξεων, ἃς εἴτε πρὸς τοὺς ἐναντίους εἴτε που καὶ πρὸς τοὺς οἰκείους πεποίηνται, πολλαχοῦ δὲ καὶ τῶν διηγήσεων, [καὶ] τὸν τῶν λέξεων νοῦν ἐκτιθέντες μόνον, ὡς ἅμα τῇ σαφηνείᾳ καὶ τὸ σύντομον προσεῖναι δύναιτο τῇ γραφῇ.

Ὁ μέντοι γε μακάριος Λουκᾶς ἀρχὴν τῆς βίβλου τῶν Ἀποστολικῶν Πράξεων πεποίηται ταύτην.

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ*

## Ρωμ. 1,1

**113** Χριστοῦ γὰρ πάντα δοῦλα καὶ Δεσπότης ἁπάντων αὐτός. Διὸ πρῶτον ὀνομάσας ἑαυτὸν δοῦλον[1] αὐτοῦ, οὕτω καὶ τοὺς λοιποὺς ἄγει εἰς τοῦτο. Μόνης δὲ τῆς τοῦ Υἱοῦ μέμνηται δεσπότητος, ὡς ἀγνοούμενος οὐ μὴν καὶ τῆς τοῦ Πατρὸς ἥτις παρὰ πᾶσιν ὡμολόγηται.

Εἰπὼν δὲ ἀφωρισμένος, ἔδειξεν ὅτι οὐ μόνον ἐκλήθη ἀλλὰ καὶ ἐξελέγη ἐκ πολλῶν ὡς χρήσιμος πρὸς ‹τὸ› τοῦ Εὐαγγελίου κήρυγμα.

## Ρωμ. 1,7

Διὰ τοῦτο δὲ εἶπεν· πᾶσιν, ἐπειδὴ παρὰ Χριστῷ πάντες ἴσοι. Εἶτα εἶπεν· «ἀγαπητοῖς Θεοῦ, κλητοῖς ἁγίοις»[2], ἀπομερίζει τοὺς ἀπίστους.

Κληθείη δ' ἂν χάρις ἡ τῶν ἁμαρτημάτων συγχώρησις καὶ ἡ τῆς υἱοθεσίας δωρεά, εἰρήνη δὲ ἡ τῶν ἀοράτων πολεμίων ἀπαλλαγὴ ὧν ἡμᾶς ἀπαλλάσσει Χριστός, καὶ τὸ μὴ στασιάζειν τὸ σῶμα πρὸς τοὺς τῆς ψυχῆς λογισμοὺς καὶ ἡ πρὸς ἀλλήλους εὐσεβὴς συμφωνία.

## Ρωμ. 1,8

[Ἀντὶ τοῦ πρὸ παντὸς τοῦ προκειμένου λόγου «τῷ Θεῷ εὐχαριστῶ ὑπὲρ πάντων ὑμῶν»[3] εἴτε πενήτων εἴτε πλουσίων· τὸ γὰρ κατὰ τὴν εὐσέβειαν ἴσον τῶν πιστευόντων πανταχοῦ δείκνυσι τοῖς Ῥωμαίοις.]

---

* Κατὰ τὴν ἔκδοσιν K. Staab, Pauluskommentare aus der griechischen Kirche (Neutestamentliche Abhandlungen XV), Münster 1933, σσ. 113 - 172, (J. - P. Migne, PG 66,787-876).

**1.** Πρβλ. Ρωμ. 1,1. **2.** Ρωμ. 1,7. **3.** Ρωμ. 1,8.

**[788]** Φαίνεται δὲ καὶ ἐν ἑτέραις τῶν Ἐπιστολῶν ἀπ' εὐχαριστίας ἀρχόμενος, ἐκείνους πρὸς οὓς ποιεῖται τὸ γράμμα διδάσκων παντὸς λόγου καὶ πράγματος ἀπ' εὐχαριστίας ἀπάρχεσθαι τῷ Θεῷ, οὐ μόνον ὑπὲρ οἰκείων ἀλλὰ καὶ ὑπὲρ ἀλλοτρίων. Ἐνταῦθα δὲ μάλιστα κυριώτατα χρῆται τούτῳ τῷ προοιμίῳ· ἔδει γὰρ τὸν μετὰ τὴν Πέτρου διδασκαλίαν τὰ τῆς εὐσεβείας δόγματα παραδιδόναι αὐτοῖς ἐπιχειροῦντα, δεικνύναι ὡς ἀποδέχεται τὰ πρῶτα, καὶ οὐδὲν ἐκείνοις ἐπιμεμφόμενος τὴν πρὸς αὐτοὺς ποιεῖται διδασκαλίαν. Ἔχει δὲ ὅμως καὶ Ῥωμαίων ἔπαινον τὸ εἰρημένον οὐ τὸν τυχόντα· καὶ αὐτοῦ γὰρ τούτου ἕνεκεν συνεχῶς ἐν **114** ταῖς αὐτοῦ Ἐπιστολαῖς τούτῳ κέχρηται τῷ προοιμίῳ, ὥστε ταῖς εὐφημίαις προθυμοτέρους αὐτοὺς πρὸς τὴν τῶν γραφομένων παρασκευάζειν ἀνάγνωσιν· ὅπερ καὶ ἐπὶ Ῥωμαίων εἰργάσατο, τῶν πραγμάτων αὐτῷ συνεργούντων εἰς τοῦτο.

Προσεκτέον δὲ κἀνταῦθα τά «διὰ Ἰησοῦ Χριστοῦ», ὅπως οὐκ ἐπὶ διακονίας κέχρηται, ὥσπερ [οὐ] δοκεῖ τοῖς αἱρετικοῖς, ἀλλ' ἐπ' αἰτίας· οὐ γὰρ δὴ διακόνῳ τῷ Χριστῷ κεχρῆσθαι ὁ Ἀπόστολος ἔμελλε τῆς εἰς τὸν Θεὸν εὐχαριστίας, λέγει δὲ ὅτι «τῷ Θεῷ εὐχαριστῶ ὑπὲρ ὑμῶν», τοῦ Χριστοῦ ταύτης ἡμῖν τῆς εὐχαριστίας τὴν αἰτίαν παρασχομένου.

## Ρωμ. 1,9

Διὸ καλῶς εἶπεν «τῷ πνεύματί μου»[1], ἀντιδιαστέλλων πρὸς τὴν σωματικὴν Ἰουδαίων λατρείαν τὴν οὖσαν ἐν περιτομῇ καὶ σαββατισμῷ καὶ ταῖς τοιαύταις θυσίαις· κατὰ πάντα γὰρ οὐ πνευματικὴ οὐδ' ἀληθής. Τινὲς δὲ ἁπλούστερον ἐδέξαντο τό «ἐν τῷ πνεύματί μου» ἀντὶ τοῦ τῇ διανοίᾳ καὶ τῇ προθυμίᾳ.

## Ρωμ. 1,10

[Καλῶς τό «εἴ πως ἤδη ποτέ»[2], ὡς ἂν σφόδρα ποθῶν τῆς πρὸς αὐτοὺς ἀφίξεως τυχεῖν καὶ οὐδὲ φέρων τοῦ παρεληλυθότος χρόνου τὴν ὑπέρθεσιν].

**1.** Ρωμ. 1,9. **2.** Ρωμ. 1,10.



## Ρωμ. 1,11

Ἔδειξε τοίνυν διὰ τοῦ ἐπιθυμεῖν ἰδεῖν αὐτοὺς τὸ τῆς διαθέσεως γνήσιον, καὶ διὰ τοῦ ἐπείγεσθαι μεταδοῦναι, ὅτι αὐτοῖς χάρισμα θεῖον[1] οὐχ ἴδιον ἀλλ' οὗ ἔτυχε καὶ αὐτὸς μεταδιδούς. Πνευματικὰ δὲ χαρίσματά εἰσι λόγος σοφίας, λόγος γνώσεως, πίστις, χαρίσματα ἰαμάτων, ἐνεργήματα δυνάμεων[2]· ταῦτα γὰρ βεβαιοτέρους ἐν τῇ πίστει καθίστησιν.

## Ρωμ. 1,13

Τέως δὲ ἐκ τῶν παρόντων ἱκανῶς καὶ τὴν ἑαυτοῦ διάθεσιν δείκνυσιν, ὅτι θελήσας ἐλθεῖν πολλάκις ἐκωλύθη[3]· ἅμα δὲ καὶ εἰς φόβον αὐτοὺς καθίστησι, μή ποτε διὰ τὸ αὐτῶν ἀνάξιον ἐκωλύθη.

**115** [Ζητεῖται δὲ πῶς ἀνταπέδωκεν «πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ περὶ πάντων ὑμῶν»· οὐ γὰρ εἶπε δεύτερον δέ. Ἡγοῦμαι τοίνυν ὅτι ἐνταῦθα ἡ ἀνταπόδοσις γέγονεν εἰς τό «οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί»[4], καὶ τὰ ἑξῆς].

## Ρωμ. 1,15

[«Οὕτω τὸ κατ' ἐμὲ πρόθυμον»[5]. Ἔδειξε τὴν αἰτίαν καὶ ὡμολόγησε λοιπὸν δι' ἣν ἔσπευδεν αὐτοὺς θεάσασθαι· φησὶ γάρ· «οὕτω τὸ κατ' ἐμὲ πρόθυμον», ἀντὶ τοῦ διὰ ταῦτα καὶ τοῦτον τὸν τρόπον.]

## Ρωμ. 1,18

Ἐπειδὴ τοίνυν ἐγγὺς ἡ κόλασις ἡ κατὰ τῶν ἀσεβῶν καὶ ἀδίκων προωρισμένη, ἀναγκαῖον προσδραμεῖν τῇ ἐκ πίστεως δικαιοσύνῃ, ἵνα ἐκφύγῃς τὰ προσδοκώμενα χαλεπά. Καλῶς δὲ εἶπεν «τὴν ὀργὴν τοῦ Θεοῦ ἀποκαλύπτεσθαι»[6]· ἐν γὰρ τῷ νῦν αἰῶνι καλύπτεται ἀνεξικακοῦντος Θεοῦ καὶ μὴ παραχρῆμα τιμωρουμένου, ἵνα

**1.** Πρβλ. Ρωμ. 1,11. **2.** Πρβλ. Α' Κορ. 12,8-10. **3.** Πρβλ. Ρωμ. 1,13. **4.** Ρωμ. 1,13. **5.** Ρωμ. 1,15. **6.** Ρωμ. 1,18.

μὴ ἀποκλείσῃ τῆς μετανοίας καιρόν, ἵνα ἢ μεταγνόντες σωθῶσιν ἢ καταφρονήσαντες ἀπολογίας μὴ σχῶσι πρόφασιν.

Ρωμ. 1,25

᾿Αλλ᾿ ὅπερ ἐλέγομεν, «μετήλλαξαν τὴν ἀλήθειαν ἐν τῷ ψεύδει»[1], καὶ οὕτως ὁ μὲν Θεὸς ἀληθινός ἐστι Θεός, τὰ δὲ εἴδωλα ψευδῶς ἐκάλεσαν θεούς. Τὴν οὖν «ἀλήθειαν τοῦ Θεοῦ» περιέθηκαν τοῖς εἰδώλοις. Ὅρα δὲ πάλιν τό «μετήλλαξαν» σημαίνειν ὅτι κατὰ εἴδη κατήλλαξαν τὰ ἀληθῶς ἐπὶ Θεοῦ λέγεσθαι καὶ νοεῖσθαι δυνάμενα περιθέντες «τῷ ψεύδει» τοῦτ᾿ ἔστι τοῖς εἰδώλοις.

Ρωμ. 1,26

Καὶ ἐνταῦθα οὖν «παρέδωκεν»[2] ἀντὶ τοῦ συνεχώρησέν ἐστιν ἐφ᾿ ἅπερ ἕκαστος ἐβούλοντο φέρεσθαι, ὡς οὐχ ἀναγκαστικὴν ἀλλ᾿ ἐλευθέραν ποιήσας τὴν προαίρεσιν ἐφ᾿ ἣν βούλεται ῥέπειν. ᾿Επεὶ οὖν, εἰ ἐκώλυσεν, οὐχ ἂν ἐγένετο, τὴν αἰτίαν δῆθεν ἐπὶ τὸν μὴ κωλύσαντα φέρειν εἴωθεν ἡ Γραφή. «Τιμίαν» δὲ ὧδε τὴν ἀκολασίαν φησίν.

Ρωμ. 2,2

«Κρίμα» δὲ λέγει τὸ κριτήριον καὶ δικαστήριον τοῦ Θεοῦ, καὶ ὡς βεβαιῶν τὴν τῶν ἀσεβῶν κατάκρισιν ἐπήγαγε τό «κατὰ ἀλήθειάν ἐστιν»[3].

**116** [Καὶ ἵνα μὴ δόξῃ κατηγορεῖν αὐτῶν δι᾿ ἀπέχθειαν, ἐν τῇ λέξει τὸ ἀνὰ πάλιν πεποίηκεν, τὴν μὲν ἀπώλειαν ἐπὶ τῶν ἀνόμως ἁμαρτανόντων θείς, τὸ διὰ νόμου κριθῆναι ἐπὶ τῶν ἐν νόμῳ].

Ρωμ. 2,16

**[789]** Ἡ δὲ τούτων, φησί, διάγνωσις τότε ἔσται ὅτε καὶ τῶν κατὰ νόμον βιούντων, ἑνὸς ὄντος τοῦ καιροῦ καθὸν τὰ πάντων τῶν

**1.** Ρωμ. 1,25. **2.** Ρωμ. 1,26. **3.** Ρωμ. 2,2.



ἀνθρώπων ἐξετάζει Θεός «διὰ τοῦ Χριστοῦ κατὰ τὸ Εὐαγγέλιόν μου»[1], ἵνα εἴπῃ· καθὼς καὶ αὐτὸ κηρύττων διατελῶ, ὅτι ἔσται κρίσεως καιρός, καὶ δεῖ πιστεύσαντας Χριστῷ τὴν τιμωρίαν ἐκφυγεῖν ἐκείνην.

Ρωμ. 2,17

[Οὐ κατ᾿ ἐρώτησιν, ὥς τινες ὑπέλαβον, ἀναγνωστέον τὸ εἰ δέ «σὺ ᾿Ιουδαῖος ἐπονομάζῃ»[2], ἀλλὰ κατ᾿ ἀπόφασιν, ἵνα εἴπῃ· μὴ ὢν ἀληθῶς καί «ἐν κρυπτῷ ᾿Ιουδαῖος»[3], ἀλλὰ λεγόμενος μόνον καὶ ὡς σῶμα ἀλαζονευόμενος.]

Ρωμ. 2,20

«Μόρφωσιν»[4] λέγει οὐ τὴν προτύπωσιν, ἀλλ᾿ αὐτὴν τὴν ὑπόστασιν καὶ τὴν γνῶσιν καὶ τὴν ἀλήθειαν ὡς τό «ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων»[5].

Ρωμ. 2,29

**[792]** Τῷ πνεύματι, οὐ τῷ ῾Αγίῳ· οὐ γὰρ περὶ τῶν ἐν τῇ χάριτι κατορθούντων διαλέγεται, ἀλλ᾿ ὑποτίθεται δι᾿ ὅλου τοὺς ἔξω τὰ τοῦ νόμου ποιοῦντας, καὶ δείκνυσι κρείττονας τῶν ἐν τῷ νόμῳ παραβαινόντων. Συνᾴδει δὲ ἅπαντα καταλλήλως τῷ οἰκείῳ σκοπῷ, πρόθεσιν ἔχων καὶ τοῦ φυσικοῦ νόμου Ἕλληνας δεῖξαι παραβάτας καὶ ᾿Ιουδαίους πρὸς τῷ φυσικῷ καὶ τοῦ θετοῦ, ἵνα διὰ πάντων στήσῃ τὸ τῆς χάριτος χρῄζειν ἅπαντας. Λέγει δὲ τὸ ἐν πνεύματι ἀντὶ τοῦ τῇ προθέσει, ὡς ἐν τῇ τῶν ᾿Αριθμῶν βίβλῳ φησὶν ὁ Θεός «ὅτι πάντες οἱ παροξύναντές με οὐχ ὄψονται τὴν γῆν, ὁ δὲ παῖς μου Χάλεβ, ὅτι ἐγενήθη πνεῦμα ἕτερον ἐν αὐτῷ καὶ ἐπηκολούθησέ μοι»[6] καὶ τὰ ἑξῆς, φανερῶς πνεῦμα τὴν πρόθεσιν εἰπών, καὶ ὁ Προφήτης· «πνεύματι πορνείας ἐπλανήθησαν»[7], ἵνα εἴπῃ· πρόθεσιν ἔσχον πορνικήν.

**1.** Ρωμ. 2,16. **2.** Ρωμ. 2,17. **3.** Ρωμ. 2,29. **4.** Ρωμ. 2,20. **5.** Φιλιπ. 2,6. **6.** ᾿Αριθμ. 14,33. **7.** ᾿Ωσ. 4,12.

## Ρωμ. 3,9

**117** Ἵνα εἴπῃ· ἄγε τοίνυν, μετὰ τὸν ἐκείνων ἔλεγχον τῶν ἡμετέρων τὸ μέγεθος δείξομεν.

## Ρωμ. 3,12

**[793]** Τῇ μαρτυρίᾳ οὐχ ὡς προφητικῶς εἰρημένῃ ἐχρήσατο, ἀλλ' ὡς ἁρμοζούσῃ τοῖς ἀποδεδειγμένοις τῷ περιληπτικῶς περὶ ἐπταικότων λέγειν αὐτὰ τὸν Δαβίδ. Ὥσπερ οὖν καὶ ἡμεῖς ἄχρι τῆς δεῦρο ἐν ταῖς ἐκκλησιαστικαῖς διαλέξεσι μαρτυρίαις συγκεχρήμεθα, ὡς ἂν ἁρμόζειν δυναμέναις ἀπὸ τῆς διανοίας τοῖς παρ' ἡμῶν λεγομένοις· ὁ γὰρ ψαλμὸς ἐκεῖνος οὐ περὶ πάντων ἀνθρώπων εἴρηται τῷ Δαβίδ. Καὶ δῆλον ἐξ ὧν φησιν· «οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου;»[1] τίνα δὲ ἔμελλεν ὀνομάζειν οἰκεῖον Θεῷ ὁ περὶ πάντων ἀνθρώπων ὡς εἰς τὸ χεῖρον ἐκκλινάντων ἀποφηνάμενος;

## Ρωμ. 3,27

Πάντως ἐρεῖτέ μοι· τίς ἐπεισελθὼν νόμος τοῦτον ἐξέβαλεν; Ἐπειδὴ νόμῳ πέφυκεν ὁ κρατῶν λύεσθαι νόμος. Πρὸς οὕς φησιν· οὐ νόμος ἔργων[2] ἐπεισελθὼν τὸν πρότερον ἔλυσεν — κάλλιστα γὰρ εἶχεν ἐκεῖνος κατά γε τοῦτο, — νόμος δὲ πίστεως ἐπεισεληλυθὼς περιττὸν εἰκότως τοῦτον ἀπέφηνε νικώσης τὴν ἀπὸ τοῦ νόμου τῶν ἔργων ‹καύχησιν›, ἐπειδὴ ταῦτα ἡμῖν ἀπὸ τῆς θείας ὑπάρχει χάριτος, ἃ σὺν πολλῷ τῷ πόνῳ προσγίνεσθαι ἀπὸ τῶν προτέρων οὐχ ἠδυνήθη. Ἔδειξε δέ «διὰ νόμου πίστεως» εἰπὼν καὶ μὴ ἁπλῶς διὰ πίστεως ‹τὸ καυχᾶ›σθαι πρὸς τὸν νόμον ὡς ἀλλότριον ‹εἶναι, εἰ καὶ› ἐπὶ τῶν οἰκείων τὴν προσηγορίαν ἀσπάζεται.

## Ρωμ. 3,28

Τὸ δέ «λογιζόμεθα» οὐκ ἐπ' ἀμφιβολίας λέγει, ἀλλ' ἀντὶ τοῦ λογισμῷ τῷ προσήκοντι ἡγοῦμαι τῆς κατὰ πίστιν δικαιώσεως

---

1. Ψαλ. 13,4. 2. Πρβλ. Ρωμ. 3,27.



«ἄνευ ἔργων νόμου»[1] πάντα ἄνθρωπον βουληθέντα μετέχειν. Σημειωτέον δὲ ὡς οὐχ ἁπλῶς εἶπε χωρὶς νόμου, ὡς ἂν εἰ καὶ ἐργαζοίμεθα ἀρετῆς ἐπιμελούμενοι, οὐκ ἀνάγκῃ νόμου τοῦτο ποιούντων, ἀλλ' ὑφ' ἑτέρου πρὸς τοῦτο ἀγομένων.

## Ρωμ. 3,30

**118** Ἐπὶ τῶν Ἰουδαίων τό «ἐκ πίστεως»[2] τέθεικεν, ὡς ἂν ἐχόντων μὲν καὶ ἑτέρας ἀφορμὰς πρὸς δικαίωσιν, οὐ δυναμένων δὲ αὐτῆς μετέχειν πλὴν «ἐκ τῆς πίστεως»· ἐπὶ δὲ τῶν Ἑλλήνων «διὰ τῆς πίστεως», ὡς ἂν ἅπασαν τῆς δικαιώσεως τὴν αἰτίαν ἐντεῦθεν ἐχόντων.

## Ρωμ. 4,8

**[796]** Θαυμασιώτατα δὲ τὰς μαρτυρίας συνέκρουσεν, ἐπὶ μὲν τῆς πίστεως· «καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην»[3], ἐπὶ δὲ τῶν ἔργων· «καὶ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν»[4]. Ἐκεῖ γὰρ ἤρκεσεν ἡ πίστις ὥστε λογισθῆναι αὐτῷ εἰς δικαιοσύνην, ἐνταῦθα δὲ τὰ ἔργα καὶ πρὸς τὸ ἐναντίον ῥέποντα οὐ λογίζεται, ὅταν ἡ τοῦ Θεοῦ φιλανθρωπία τῶν γεγονότων ἀνωτέρα φαίνηται.

## Ρωμ. 4,11

«Εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων»[5]. Κατὰ τὸ οἰκεῖον ἰδίωμα κἀνταῦθα εἶπεν ὡς τό «εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους»[6]· λέγει γὰρ τὸ ἀναγκαίως τοῖς γεγονόσιν ἑπόμενον. Ἐντεῦθέν φησι· κοινός ἐστιν ἁπάντων πατήρ, ἐπειδὰν τὴν πρὸς αὐτὸν ὁμοιότητα τῆς πίστεως δέξωνται.

## Ρωμ. 5,13-14

Οὐδὲ γὰρ ὁ νόμος ἐπεισελθών, φησί, τὴν ἁμαρτίαν ἔλυσεν, ἀλλ' ἄχρις ἦν τε ὁ νόμος καὶ ἐπολιτεύετο καὶ ἐκράτει παρὰ τοῖς

---

1. Ρωμ. 3,28. 2. Ρωμ. 3,30. 3. Γεν. 15,6. 4. Ρωμ. 4,8. Ψαλ. 31,2. 5. Ρωμ. 4,11. 6. Ρωμ. 1,20.

ἀνθρώποις, ἐλάμβανε καὶ τὰ τῆς ἁμαρτίας προσθήκην, οὐδὲν πρὸς τοῦτο τῆς τοῦ νόμου θέσεως συμβαλέσθαι δυνηθείσης αὐτοῖς. Καὶ πρὸς ἀπόδειξιν τοῦ προκειμένου ἐπάγει· ἁμαρτία δὲ οὐκ ἐλλογεῖτο μὴ ὄντος νόμου[1]. Τοσοῦτον γὰρ ἀπεῖχεν ὁ νόμος, φησί, τοῦ τὴν ἁμαρτίαν ἀνελεῖν, ὥστε οὐδ' ἂν γένοιτο ἁμαρτία, εἰ μὴ νόμος εἴη. Νόμον δὲ νῦν καλεῖ τὴν ἥντινα δήποτε διάκρισιν εἴτε ἀπὸ φύσεως εἴτε ἀπὸ θέσεως ἐγγινομένην· μὴ γὰρ οὔσης τῆς διακρίσεως οὐκ ἄν τις λέγοιτο ἁμαρτάνειν ἁμαρτίαν, εἰ δὲ ὁ τὸ φαινόμενον κακὸν καὶ διακεκριμένον ἀπὸ τοῦ καλοῦ μετιών. Ἀλλὰ τοῦτο μὲν εἰς αὔξησιν τοῦ «ἐφ' ᾧ πάντες ἥμαρτον» τέθεικεν.

Ἐχόμενος δὲ τῆς οἰκείας ἀκολουθίας ἐπήγαγεν· «ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωυσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος»[2]. Τὸ μὲν **119** οὖν «καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ» τοῦτο λέγει ὅτι ὁ θάνατος ἐκράτησεν ἁπάντων τῶν ὁπωσδήποτε ἡμαρτηκότων· οὐ γάρ, ἐπειδὴ οὐχ ὅμοιον ἦν τὸ τῆς ἁμαρτίας εἶδος, τό τε τοῦ Ἀδὰμ καὶ τῶν λοιπῶν ἀνθρώπων, θανάτου γεγόνασιν ἐκτὸς οἱ λοιποί, ἀλλ' ὑπὲρ ὧν ἡμάρτανον ὁπωσδήποτε, τοῦ θανάτου τὴν ἀπόφασιν **[797]** ἐδέξαντο πάντες· οὐ γὰρ τῆς τοιᾶσδε ἁμαρτίας τιμωρία ὁ θάνατος ὥρισται ἀλλὰ πάσης ἁμαρτίας. Ἔστι δὲ ἐν τῷ.... πᾶν ἀπὸ τοῦ «οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[3]· λέγει γὰρ ὅτι οὐχ ἐπὶ τούτῳ μόνον καυχώμεθα, ὅτι διὰ τοῦ Χριστοῦ κατήλλαξεν ἡμᾶς ὁ Θεὸς ἑαυτῷ, ἀλλ' ὅτι καὶ πάντα δὴ τὰ παλαιὰ ἔλυσε κακά. Ποῖα ταῦτα; ἡμαρτηκότος γὰρ τοῦ Ἀδὰμ καὶ μὴν καὶ θνητοῦ διὰ τοῦτο γεγονότος, ἥ τε ἁμαρτία πάροδον ἔλαβεν εἰς τοὺς ἑξῆς καὶ ὁ θάνατος πάντων ἐκράτει τῶν ἀνθρώπων ὡς εἰκός. Πάντων γὰρ ἡμαρτηκότων, εἰ καὶ μὴ παραπλησίαν τῷ Ἀδὰμ ἁμαρτίαν ἀλλ' οὖν γε ὁπωσδήποτε, τῶν μὲν οὕτω τῶν δὲ οὕτω, ἀνάγκη καὶ τὸν θάνατον ἦν κρατεῖν ἐφ' ἁπάντων ὁμοίως. Ἀλλ' οὐδὲ ὁ νόμος ἐπεισελθὼν ἀνελεῖν αὐτὴν ἀπὸ τῶν ἀνθρώπων ἐδυνήθη· τοὐναντίον μὲν οὖν καὶ ἡ τοῦ ἁμαρτάνειν ἀφορμὴ ἐντεῦθεν ἡμῖν ἐπεγίγνετο τῷ μηδὲ

**1.** Πρβλ. Ρωμ. 5,13. **2.** Ρωμ. 5,14. **3.** Ρωμ. 5,11.



οἷόν τε εἶναι ἁμάρτημα κρίνεσθαι νόμων ἐκτός. Ὄντων δὲ τῶν καθ' ἡμᾶς ἐν τούτοις ὡς μηδεμίαν τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς ὑποφαίνεσθαι ἐλπίδα, λύσιν ἁπάντων ὁ Χριστὸς εἰργάσατο τῶν κακῶν. Διὸ συντόμως ἐπήγαγε τό «ὅς ἐστι τύπος τοῦ μέλλοντος», ἵνα εἴπῃ ὅτι ἐγένετο δὲ τὰ κατὰ τὸν Ἀδὰμ τύπος τῶν κατὰ Χριστόν, ἐπειδὴ ὥσπερ δι' ἐκείνου τῶν χειρόνων ἡ πάροδος ἐγένετο, οὕτω διὰ τούτου τῆς τῶν κρειττόνων ἀπολαύσεως τὴν ἀφορμὴν ἐδεξάμεθα.

## Ρωμ. 5,15

Καὶ οὐδὲ τὸ τοῦ παραπτώματος εἶδος, φησί, τοσοῦτον ὅσον τὸ τοῦ χαρίσματος· εἰ γὰρ καὶ ἡ τοῦ ἑνὸς ἁμαρτία τοῖς ἀνθρώποις τὸν θάνατον ἐπήγαγεν, ἀλλ' οὖν γε ἡ διὰ τοῦ Χριστοῦ δωρεὰ μείζων τις περὶ τοὺς ἀνθρώπους ἐγένετο. Τὸ γὰρ «οἱ πολλοὶ ἀπέθανον»[1] ἀντὶ τοῦ πάντες λέγει· πάντες γὰρ ἀπέθανον, ὡς αὐτὸς ἀνωτέρω φησίν· «εἰς πάντας ἀνθρώπους διῆλθεν ὁ θάνατος». Δῆλον δὲ ὅτι τό «καὶ εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν»[2] ὁμοίως ἀντὶ τοῦ εἰς πάντας λέγει· κοινὴ γὰρ καὶ ἡ τῆς Ἀναστάσεως χάρις ἁπάντων ἀνισταμένων ὁμοίως.

## Ρωμ. 5,16

Μίαν ταύτην αἰτίαν λέγει τῆς διαφορᾶς· ἐκεῖ μὲν γάρ, φησίν, εἷς ἡμαρτηκὼς καὶ κατακριθεὶς διὰ τοῦτο εἰς τοὺς ἑξῆς τὴν τιμωρίαν ἐνεχθῆναι παρεσκεύασεν, πάντας κοινωνοὺς τῆς ἀποφάσεως ἐσχηκὼς **120** τοῦ θανάτου. Ἡ δέ γε χάρις οὐχ ὁμοίως· οὐ γὰρ ἀφ' ἑνὸς ὥσπερ ἐπὶ τοῦ Ἀδὰμ εἰς τοὺς ἑξῆς ἐλήλυθεν, ἀλλὰ πολλῶν ὄντων τῶν ἤδη κατακεκριμένων σύντομον εἴς τε τοὺς πρότερον καὶ εἰς τοὺς ἑξῆς ἀνθρώπους τῆς δωρεᾶς ἐποιήσατο τὴν ἐξάπλωσιν. Ἔστιν οὖν μείζων πολλῷ· εἴπερ ἐκεῖνο μὲν ἔβλαψε τοὺς ἑξῆς, τοῦτο δὲ οὐ τοὺς ἑξῆς μόνον ὠφέλησεν, ἀλλὰ γὰρ καὶ τοὺς προειληφότας ἔλυσε τῶν ἐγκλημάτων[3].

**1.** Ρωμ. 5,15. **2.** Ρωμ. 5,12. **3.** Πρβλ. Ρωμ. 5,16.

## Ρωμ. 5,17

Ἔτι μὴν κἀκεῖνο, φησί, πολλὴν δείκνυσι τὴν διαφοράν, ὅτι ἐκεῖ μὲν ὁ θάνατος εἰσαχθεὶς τῇ τοῦ Ἀδὰμ ἁμαρτίᾳ καὶ κρατήσας ἐπὶ τῶν **[800]** ἀνθρώπων ἐδέξατο λύσιν[1], ἡ δέ γε τῆς δωρεᾶς ἀπόλαυσις διὰ τοῦ Χριστοῦ προσγεγονυῖα ἡμῖν, δι' ἣν καὶ τῆς ἀναστάσεως τευξόμεθα καὶ ἐν δικαιοσύνῃ διατελέσομεν ἁμαρτεῖν οὐκ ἐπιδεχόμενοι, λύσιν οὐ δέξεται· διαμενοῦμεν γὰρ τῆς μελλούσης ζωῆς διηνεκῶς ἀπολαύοντες.

## Ρωμ. 5,18-19

Ἀρκούντως ἐκ τοῖς προκειμένοις τὴν διαφορὰν δείξας τῶν πραγμάτων συλλογίζεται ἐνταῦθα τὸ πᾶν πρός «τὸ διὰ τοῦτο ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν»[2], ταῦτα ἀποδιδοὺς καὶ λέγων ὅτι δέδεικται διὰ τούτων ἡμῖν, ὅπως τοῦ Ἀδὰμ καὶ ἁμαρτήσαντος καὶ θανάτου αἰτίου γεγονότος ὁ Χριστὸς καὶ τὴν λύσιν τῶν ἁμαρτημάτων ἡμῖν ἐχαρίσατο, καὶ τὴν ἀπαλλαγὴν τοῦ θανάτου τῇ τῆς Ἀναστάσεως ἐλπίδι καθ' ἣν ἔξω πάσης ἁμαρτίας πολιτευσόμεθα· τοῦτο γὰρ λέγει «δικαίωσιν ζωῆς»[3]. Καὶ ὥσπερ ἡ ἐκείνου, φησίν, ἁμαρτία τοὺς λοιποὺς ἀνθρώπους θνητούς τε ἐποίησε καὶ ἐπιῤῥεπεῖς διὰ τούτου περὶ τὴν ἁμαρτίαν εἶναι —τοῦτο γὰρ λέγει τὸ ἁμαρτωλοί—, οὕτως ὁ Χριστὸς τὴν ἀνάστασιν ἡμῖν ἐδωρήσατο, ὥστε ἐν ἀθανάτῳ τῇ φύσει καταστάντας πάσης ἁμαρτίας διάγειν ἐλευθέρους ἐν ἀκριβεῖ τῇ δικαιοσύνῃ πολιτευομένους. Ἔδειξε δὲ κἀνταῦθα ὅτι τό «οἱ πολλοί» ἀντὶ τοῦ πάντες λέγει· εἰπὼν γὰρ τό «εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς», ἐπήγαγεν· «ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί»[4], ὥστε δῆλον ὅτι «οἱ πολλοί» ἀντὶ τοῦ οἱ πάντες λέγει καὶ ἐν τοῖς ἀνωτέροις κἀνταῦθα.

## Ρωμ. 5,21

Τό «βασιλεῦσαι ἐν τῷ θανάτῳ τὴν ἁμαρτίαν»[5] οὕτως λέγει· μείζονα περὶ τὸ ἁμαρτάνειν ῥοπὴν θνητοὶ γεγονότες ἐσχήκαμεν.

**1.** Πρβλ. Ρωμ. 5,17. **2.** Ρωμ. 5,12. **3.** Ρωμ. 5,18. **4.** Ρωμ. 5,19. **5.** Ρωμ. 5,21.



Πολλὰ μὲν γὰρ ἀπὸ ἡδονῆς τῆς περί τε βρῶσιν καὶ πόσιν καὶ τὸν ἔξωθεν κόσμον καὶ μὴν καὶ τὰς τῶν γυναικῶν ἐπιμιξίας **121** ἐγγίνεται ἡμῖν πταίσματα, ἐφ' ἑκάστου τούτων οὐκ ἐπὶ τοῦ πρέποντος τῶν πολλῶν ἱσταμένων ἀλλ' εἰς ἀμετρίαν ἐκφερομένων. Ταῦτα δὲ ἀθανάτῳ μὲν οὐκ ἄν ποτε ἐγγένοιτο φύσει. Ποία γὰρ ἡδονή, τίς δὲ φιλαργυρία ἐπὶ τῆς ἀθανάτου χώραν ἕξει φύσεως; ἐπειδὴ δὲ θνητοὶ γεγόναμέν τε καί ἐσμεν τὴν φύσιν, ἄφατον μέν τινα ἀπὸ τῶν προειρημένων παθῶν τὴν ἐνόχλησιν ὑπομένομεν, πολλὴν δὲ τὴν περὶ τὸ ἁμαρτάνειν ῥοπὴν ἐντεῦθεν δεχόμεθα. Καλῶς οὖν ἔφη «βασιλεῦσαι ἐν τῷ θανάτῳ τὴν ἁμαρτίαν»[1], μονονουχὶ κρατοῦσαν ἡμῶν διὰ τῆς ἐνούσης ἡμῖν ἐντεῦθεν περὶ τὸ ἁμαρτάνειν ῥοπῆς. Ὥσπερ οὖν τότε ἡμῶν ἡ ἁμαρτία, φησίν, ἐκράτει συνωθουμένων ἐπ' αὐτὴν καὶ παρὰ γνώμην πολλάκις, οὕτω δὲ ἡ τοῦ Θεοῦ καθέξει φιλοτιμία, ἀσάλευτον τὴν βασιλείαν ἔχουσα ἐν ἡμῖν, ἐπειδὰν τῆς αἰωνίου ζωῆς καταξιωθέντες διὰ τῆς Ἀναστάσεως ἐν ἀληθινῇ καὶ βεβαίᾳ τῇ δικαιοσύνῃ διάγειν μέλλομεν ἁμαρτεῖν οὐκ ἐπιδεχόμενοι.

## Ρωμ. 6,3

Ἦ οὐκ ἴστε, φησίν, ἐκεῖνο, ὅτι τὸ Βάπτισμα κοινωνοὺς ποιεῖ τοῦ θανάτου τοῦ Χρι**[801]**στοῦ; Καὶ γὰρ ὥσπερ συνθάπτεσθαι δοκοῦμεν αὐτῷ βαπτιζόμενοι κατά γε τὸν τύπον ὥστε προσήκειν ἡμᾶς, καθάπερ ὁ Κύριος ἐκ νεκρῶν ἀναστὰς εἰς ἑτέραν καινήν τινα κατέστη ζωήν, οὕτως καὶ αὐτοὺς ἐν καινῇ τινι ζωῇ καθεστάναι μετὰ τὸ Βάπτισμα[2], λογιζομένους ἄξιον ἐπιδείκνυσθαι τὸν βίον τῆς ζωῆς ἐκείνης εἰς ἣν διὰ τοῦ Βαπτίσματος γεγενῆσθαι πιστεύομεν.

## Ρωμ. 6,5

Δῆλον δὲ ἄρα κἀκεῖνο, φησίν, ὡς οὐκ ἔνεστι τυπικῶς κοινωνήσαντας τῷ θανάτῳ μὴ καὶ τῆς Ἀναστάσεως ἐπ' αὐτῶν τυχεῖν τῶν πραγμάτων. Καλῶς δὲ εἶπε τό «σύμφυτοι»[3] περί τε νεκρώσεως καὶ ζωοποιήσεως διαλεγόμενος, ἐπειδὴ καὶ τῶν φυτῶν ἴδιόν ἐστι

**1.** Ρωμ. 5,21. **2.** Πρβλ. Ρωμ. 6,3. **3.** Ρωμ. 6,5.

τὸ νεκροῦσθαι μὲν ἐν τῇ φυτείᾳ, μεθίστασθαι δὲ ἐπὶ τὸ κρεῖττον καὶ ἐνδοξότερον πολλῷ. Καὶ εἰκότως ἀπὸ τῶν παρόντων τὰ μέλλοντα ἐπιστώσατο· ἐπειδὴ γὰρ δῆλον ἦν, ὡς πνεύματος μετεῖχον ἐν τῷ Βαπτίσματι, τοῦτο δὲ ὑπ' αὐτῶν σαφῶς ἐδείκνυτο τῶν πραγμάτων, καλῶς ἀπὸ τοῦ φαινομένου τότε τὸ μηδέπω δῆλον αὐτοὺς ἐπιστώσατο.

## Ρωμ. 6,6

Λέγει καὶ τὸ πάθος τοῦ Κυρίου ἐπὶ τίσιν ἐγένετο, εἰς μείζονα πίστιν τῶν εἰρημένων. Ἐπειδὴ γὰρ ὑπὸ τὴν ἀπόφασιν γενόμενοι τοῦ θανάτου πλεῖστον ὅσον ἐπιῤῥεπέστεροι πρὸς τὸ ἁμαρτάνειν ὑπὸ τῆς θνητότητος ἐγινόμεθα, τῷ Χριστῷ, φησίν, ἐσταυρωμένῳ ὥσπερ ἅπασα ἡμῶν ἡ ὑπὸ τὴν θνητότητα κειμένη φύσις συνεσταυρώθη[1], ἐπειδὴ καὶ **122** πᾶσα αὐτῷ συνανέστη, πάντων ἀνθρώπων αὐτῷ συμμετασχεῖν ἐλπιζόντων τῆς Ἀναστάσεως. Ὡς ἐντεῦθεν συναφανισθῆναι μὲν τὴν περὶ τὸ ἁμαρτάνειν ἡμῶν εὐκολίαν διὰ τῆς ἐπὶ τὴν ἀθανασίαν τοῦ σώματος μεταστάσεως, γεννηθῆναι δὲ καὶ ἡμᾶς ἔξω καταστῆναι τῆς τοῦ ἁμαρτάνειν ἀνάγκης.

## Ρωμ. 6,12-14

Λέγει μὲν ὅτι τούτων οὕτως ἐχόντων δίκαιον ἡμᾶς μὴ ἁμαρτάνειν κατὰ τὸν παρόντα βίον, κἂν ἔτι θνητοὶ τὴν φύσιν ὄντες πλείονα ἔχητε τὴν ἐπὶ τοῦτο ῥοπήν. Ἐπειδὴ δὲ τό «βασιλεύειν»[2] ἐπὶ τῆς ἁμαρτίας τέθεικεν, καλῶς εἶπε τὸ μή «παριστάνετε τὰ μέλη ὑμῶν»[3]· παρεστάναι γὰρ τοῖς βασιλεῦσιν ἔθος τοὺς δορυφόρους. Μὴ τοίνυν, φησίν, ὡς βασιλίδι τῇ ἁμαρτίᾳ σπεύδοντες ὑπηρετεῖσθαι διαπράττεσθε ἃ μὴ δεῖ, σπουδάσατε δὲ μᾶλλον ἑαυτοὺς ἀφορίσαι τῷ Θεῷ κατὰ τοὺς ἐκ νεκρῶν ἀναβιώσαντας, ὅλοι δι' ὅλων τὰ δικαιοσύνης ἔργα ποιεῖν ἐσπουδακότες. Θαυμασιώτατον δὲ αὐτοῦ τό «ὡσεὶ ἐκ νεκρῶν ζῶντας», δεικνύντος ὅτι οὐ τὸ πρᾶγμα παρ' αὐτῶν ἀπαιτεῖ ἀλλὰ τὴν κατὰ τὸ δυνατὸν μίμησιν· «ζῶντες» μὲν γάρ «ἐκ νεκρῶν» τότε ἔσονται ὅτε καὶ τῆς ἐπὶ τὸ

**1.** Πρβλ. Ρωμ. 6,6. **2.** Ρωμ. 6,12. **3.** Ρωμ. 6,13.



ἁμαρτάνειν ῥοπῆς ἔξω καταστήσονται, νυνὶ δέ «ὡς ἐκ νεκρῶν ζῶντες» φησίν, ἀντὶ τοῦ κατὰ τὸ δυνατὸν ἐκεῖνο μιμούμενοι. Καὶ καλῶς πείθων αὐτοὺς μὴ δεδοικέναι τὴν περὶ τὸ ἁμαρτάνειν ῥοπὴν καὶ τὰς ἐντεῦθεν κινήσεις, εἰ τὰ τῆς γνώμης ἀκέραια σώζοιτο, ἐπάγει· «ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει»[1]. Ἐπειδὴ γὰρ ἀπὸ τῶν μελλόντων μὴ δεῖν αὐτοὺς ἁμαρτάνειν ἔδειξεν, ἀκολούθως ἐπήγαγεν, ὅτι κρατῆσαι ὑμῶν καθόλου τὴν ἁμαρτίαν τῶν ἀδυνάτων· ἔσται γὰρ **[804]** καιρὸς ὁ μέλλων ἐν ᾧ πάσης ἁμαρτίας ἀπηλλαγμένοι πολιτεύσεσθε, ὥστε εἰ νῦν τὰ τῆς γνώμης ὑμῶν ὑγιαίνοι, ἅπαν εἶδος ἁμαρτίας ἀποστρεφομένων καὶ σπουδῇ τὰ καλὰ ποιεῖν ἐθελόντων, οὐ δεῖ δεδοικέναι τὴν ἐπὶ τὸ χεῖρον ῥοπήν· λήψεται γὰρ ἴασιν τοῦτο πάντως ἐν καιρῷ τῷ προσήκοντι, καὶ οὐ χρεία τῶν ὑμετέρων πρὸς τοῦτο πόνων, καὶ τὸ μεῖζον· «οὐ γάρ ἐστε ὑπὸ νόμον ἀλλ' ὑπὸ χάριν». Τοσοῦτον γὰρ ἀφέξετε τότε καί τι τοιοῦτον δεδοικέναι, ὥστε οὐδὲ νόμων ὑμῖν δεήσει τῶν ὑποδεικνύντων ἃ πράττειν προσήκει, χάριτί τε καὶ φιλοτιμίᾳ τοῦ δεδωκότος τῆς τοῦ Πνεύματος ἀπολαύσετε δωρεᾶς.

## Ρωμ. 6,15

Τοῦτο Ἰουδαίοις μάλιστα λέγειν ἐνῆν, ὅτι νόμου φύσις διορίζει, τί μὲν πράττειν προσήκει, τί δὲ μή. Εἰ μὲν οὖν ἔξω νόμου τυγχάνομεν, οὐδὲν ἂν κωλύοι τὸ προστυχὸν ἅπαντας πράττειν, εἰ δὲ ἔστι τις πρακτέων καὶ μὴ τοιούτων διάκρισις, «ὑπὸ νόμον» πάλιν ἐσμέν, καὶ σχῆμα φιλὸν ἔχει τὰ λεγόμενα παρ' ὑμῶν. Ταύτην τοίνυν ἀντιθεὶς **123** ἑαυτῷ τὴν ἀντίῤῥησιν, λέγει μὲν πῶς ἁμαρτίας ἐκτὸς εἶναι προσῆκεν ἡμᾶς οὐχ «ὑπὸ νόμον»[2] ὄντας, ὅπως δὲ ἡ τῆς χάριτος ἀπόλαυσις οὐκ ἄδειαν ἡμῖν τοῦ ἁμαρτάνειν παρέχεται. Καὶ εὐθὺς μὲν ἐπάγει κατὰ τὸ σύνηθες αὐτῷ· «μὴ γένοιτο», τοῦ ἁμαρτάνειν καὶ τὴν προσηγορίαν φευκτὴν εἶναι ἡγούμενος. Τὴν δέ γε λύσιν τῆς ἀντιθέσεως οὕτω ποιεῖται· πᾶς ἄνθρωπος ὅτῳπερ ἂν ὑπακούειν ἔληται, φησί, δοῦλον ἑαυτὸν ἐκείνου κατέστησεν εἰς τὸ πείθεσθαί τε αὐτῷ καὶ τὰ ἐκείνῳ δοκοῦντα πράττειν ἅπαντα. Ἢ

**1.** Ρωμ. 5,14. **2.** Ρωμ. 6,15.

τοίνυν τῇ ἁμαρτίᾳ πείθεσθαι ἑλόμενοι τὰ ἐκείνῃ δοκοῦντα ποιεῖν ἀνάγκην ἔχετε, τὸν ἐπιγινόμενον ἐντεῦθεν θάνατον ἐκδεχόμενοι, ἢ τῇ δικαιοσύνῃ προσνείμαντας ἑαυτοὺς δεήσει πάντως τὸ ταύτης βούλημα πληροῦν, τὰ ἐκεῖθεν ἀγαθὰ περιμένοντας.

## Ρωμ. 6,17

Ἀναγκαιότατον μὲν οὖν καὶ τό «χάρις δὲ τῷ Θεῷ»· ἔδει γὰρ ἀπ' εὐχαριστίας ἄρξασθαι τόν γε τοσούτων ἀγαθῶν δόσιν παρὰ Θεοῦ ὑπάρξασαν ἡμῖν ἐξηγεῖσθαι μέλλοντα. Καιριώτατα δὲ τό «εἰς ὃν παρεδόθητε τύπον διδαχῆς»[1]· οἱ γὰρ Ἀπόστολοι διετέλουν ἁπανταχοῦ λέγοντες ὅτι λέλυται τὰ παλαιά, πέπαυται θάνατος, ἔσβεσται ἁμαρτία, ἔργῳ μὲν ὕστερον, ἐπαγγελίᾳ δὲ ἤδη. Τύπον δέ τινα καὶ σύμβολα πληροῦμεν ἐκείνων ἐπὶ τοῦ Βαπτίσματος διὰ τῆς δεδομένης ἡμῖν ἐν αὐτῷ τοῦ Πνεύματος δωρεᾶς, ὥσπερ ἀναγεννώμενοι κατὰ μίμησιν τῶν ἐσομένων τότε. Τοῦτο οὖν λέγει ὅτι γνώμῃ τὴν ἡμετέραν διδασκαλίαν εἵλεσθε δι' ἧς προσηγάγομεν ὑμᾶς, καὶ μονονουχὶ παρεδώκαμεν τῷ τύπῳ τῶν μελλόντων διὰ τοῦ Βαπτίσματος. Τούτοις δὴ πεισθέντας ἀνάγκη σύμφωνα διαπράττεσθαι, μιμουμένους ἐκεῖνα τῷ βίῳ εἰς ἃ τῷ τύπῳ κατέστητε.

## Ρωμ. 6,19

Δῆλον μὲν οὖν, φησίν, ὅτι τοσούτῳ μείζονα περὶ ταῦτα ἔχειν προσῆκεν τὴν σπουδὴν ὅσῳ κακίας κρείττων ἀρετή. Ἵνα δὲ τῇ ὑμετέρᾳ ἀσθενείᾳ τὸν λόγον μετρήσας, πλείονα περὶ τὸ χεῖρον ἐχούσῃ τὴν ῥοπήν, μὴ μέγα τι φθέγξομαι μηδὲ ὑπέρ «ἀνθρώπινον»[2], τοσοῦτον γοῦν ὑμᾶς περιττὴν ἀρετὴν ἔχειν βούλομαι ὅσον τῇ ἁμαρτίᾳ προσεσχήκατε.

## Ρωμ. 6,21

Κατ' ἐρώτησιν ἀναγνωστέον τό «τίνα οὖν καρπὸν εἴχετε τότε;». Εἶτα κατ' ἀπόκρισιν «ἐφ' οἷς νῦν ἐπαισχύνεσθε»[3]· εἴδομεν

1. Ρωμ. 6,17. 2. Ρωμ. 6,19. 3. Ρωμ. 6,21.



γὰρ τὸ κέρδος, φησί, τῆς περὶ ἐκεῖνα σπουδῆς ἃ καὶ λεγόντων ἑτέρων αἰσχύνεσθε.

## Ρωμ. 7,4

**124 [805]** Δεικνὺς τῶν κατὰ Χριστὸν τὸ ὠφέλιμον ἐπάγει· «ἵνα καρποφορήσωμεν τῷ Θεῷ»[1]. Οὐχ ἐπ' αἰτίας δὲ λέγει τό «ἵνα», ἀλλὰ τὸ ἑπόμενον τῷ πράγματι κατὰ τὸ σύνηθες αὐτῷ· βούλεται γὰρ εἰπεῖν ὅτι ἐν ταύτῃ γενόμενοι τῇ ζωῇ διηνεκεῖς οἴσομεν τῆς δικαιοσύνης τῷ Θεῷ τοὺς καρπούς, τῆς κατὰ νόμον πολιτείας ἀπηλλαγμένοι. Θαυμασιώτατον δὲ αὐτοῦ τὸ μὴ εἰπεῖν ἐθανατώθητε διὰ τοῦ Βαπτίσματος ἀλλά «διὰ τοῦ σώματος τοῦ Χριστοῦ»· ἀρχὴ μὲν γὰρ τῆς παρούσης ζωῆς ὁ Ἀδὰμ πᾶσιν ἀνθρώποις ἐγένετο, τῆς δὲ μελλούσης ὁ Χριστός. Ὥσπερ οὖν ἐπὶ τοῦ παρόντος βίου τὴν πρὸς τὸν Ἀδὰμ κοινότητα τῆς φύσεως ἔχομεν, οὕτως ἐπὶ τοῦ μέλλοντος τὴν πρὸς τὸν Χριστὸν ὁμοιότητα λαμβάνομεν, ἐκεῖθεν τὰς ἀφορμὰς τῆς Ἀναστάσεως ἔχοντες. Μέρος οὖν τοῦ σώματος λεγόμεθα τοῦ Κυρίου ἅτε δὴ τὴν πρὸς αὐτὸν κοινωνίαν δεχόμενοι. Ὅθεν ἐπειδὴ τυπικῶς ἐν ἐκείνοις διὰ τοῦ Βαπτίσματος γεγενῆσθαι πιστεύομεν, τοῦτο λέγει ὅτι μέρος γενόμενοι τοῦ σώματος τοῦ Χριστοῦ διὰ τῆς κατὰ τὴν Ἀνάστασιν κοινωνίας ἧς ἐν τῷ Βαπτίσματι πληροῦν τοὺς τύπους ἡγούμεθα. Νεκρὸς μὲν εἶ τῷ παρόντι βίῳ λοιπόν, ἔξω δὲ τῆς ὑπὸ τὸν νόμον πολιτείας καθέστηκας, οὐδεμίαν φέρων ἑαυτῷ διαβολήν, εἰ μὴ κατ' αὐτὸν πολιτεύοιο, ἐπειδὴ φύσις αὐτῷ τὸ κρατεῖν ἐπὶ τῶν τὴν παροῦσαν ζώντων ζωήν.

## Ρωμ. 7,5

Ἡ θεία Γραφὴ ποτὲ μὲν σάρκα λέγει τὴν φύσιν αὐτήν[2], ποτὲ δὲ οὐ τὴν φύσιν ἁπλῶς, ἀλλ' ἀπὸ τῆς θνητότητος οὕτως αὐτὴν ὀνομάζει, ὡς ἂν οὐκέτι δυναμένην οὕτω καλεῖσθαι, εἰ δὴ ἀπωθοῖτο τὸν θάνατον, ὡς ὅταν λέγῃ τό «σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται»[3], ὡς ἂν οὐκέτι σαρκὸς οὔτε οὔσης οὔτε

1. Ρωμ. 7,4. 2. Πρβλ. Ρωμ. 7,5. 3. Α' Κορ. 15,50.

ὀνομάζεσθαι δυναμένης τῆς ἐπὶ τοῦ μέλλοντος αἰῶνος γεγονυίας ἀθανάτου. Ἔστι δὲ ὅτε καὶ τὸ πάθος αὐτὸ σάρκα οἶδε καλεῖν, ὡς ὅταν λέγῃ· «ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ»[1], ἵνα εἴπῃ· ἐν τῷ καιρῷ τοῦ πάθους, ὅτε πρὸς αὐτῷ ἔμελλε γενέσθαι τῷ θανάτῳ. Καὶ μὴν καὶ τὸ πρόσκαιρον καὶ εὐδιάλυτον ἅπαν οἶδεν οὕτω καλεῖν, ὡς ἐν τῇ πρὸς Κορινθίους εἰπών· «ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς, καὶ τὰ ἀσθενῆ ἵνα καταισχύνῃ τὰ ἰσχυρά, καὶ τὰ ἐξουθενημένα καὶ τὰ μὴ ὄντα ἵνα τὰ ὄντα καταργήσῃ», ἐπήγαγεν· «ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ»[2], καίτοιγε οὐ διαφόρων ζώων μνησθείς, ἀλλ' ἵνα εἴπῃ, ὥς τε πάντα τὰ πρόσκαιρα φανῆναι ἄτονα πρὸς τὴν τῆς εὐσεβείας ἐπίγνωσιν, οὕτω δὲ τοῦ μὲν ἀθανάτου ζῶντος ζωὴν οὐδέποτε ταύτῃ καλουμένου **125** τῇ φωνῇ. Σαρκὸς δὲ ποτὲ μὲν τῆς φύσεως λεγομένης, ποτὲ δὲ τῆς προσηγορίας οὐκ ἐπὶ τῆς φύσεως λαμβανομένης ἀλλ' ἐπὶ σημασίᾳ τῆς θνητότητος ὑφ' ἣν εἶναι συμβέβηκεν ἡμᾶς, ποτὲ δὲ τοῦ προσκαίρου παντός, τὴν ὑπὸ τὸν ὅρον τοῦ θανάτου κειμένην καλεῖ, ὡς τό «σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται»[3]. Οὕτως λέγει **[808]** τό «ὅτε ἦμεν ἐν τῇ σαρκί» ἀντὶ τοῦ ὅτε ἦμεν θνητοί, «ἐν σαρκί» λέγων εἶναι τὸ εἶναι θνητούς· τοὺς γὰρ πεπιστευκότας Χριστῷ καὶ τὴν περὶ τῶν μελλόντων ἐπαγγελίαν ἤδη κομισαμένους, καὶ μὴν καὶ τοῦ τύπου τῆς ἐν τῷ Βαπτίσματι χάριτος καταξιωθέντας οὐκέτι λογίζεται εἶναι θνητούς, ὅθεν καί «κοιμωμένους ἐν τῇ πρὸς Θεσσαλονικεῖς καλεῖ τοὺς ἀποθνήσκοντας. Τό τε τοίνυν τί· τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν;»[4]. Ὥσπερ διάφορα πάθη τῷ σώματι τῷ ἡμετέρῳ συμβαίνειν πέφυκεν, κἂν μὴ πάντα πᾶσιν μηδὲ πάντοτε ἐγγίνεται, οὕτω καὶ ἁμαρτιῶν διάφορα πάθη πέφυκεν ἡμῖν ἐνοχλεῖν, κἂν μὴ πάντα παρὰ πάντων ἐπιτελεῖται μηδὲ πάντοτε· ὡς γὰρ κατὰ τὸ σῶμα ὁ μὲν ἧττον ὁ δὲ μᾶλλον τοῖς πάθεσι περιπίπτει, οὕτω καὶ ἐπὶ τῶν ἁμαρτημάτων ὁ μὲν πλείονα ὁ δὲ ἐλάττονα ἁμαρτάνει. Ἐπειδὴ τοίνυν νόμῳ τινὶ τὰ ἁμαρτήματα κρίνεται, εἴτε κατὰ τὴν φυσικὴν διάκρισιν εἴτε κατὰ τὰς δεδομένας ἔξωθεν διατάξεις, τοῦτο λέγει ὅτι

**1.** Ἑβρ. 5,7. **2.** Α' Κορ. 1,27-29. **3.** Α' Κορ. 15,50. **4.** Α' Θεσ. 4,13.



πάντα τῶν ἁμαρτιῶν τὰ πάθη, ὅσαπερ νόμῳ τινὶ διακρινόμενα ἐγγίνεσθαι ἡμῖν συμβαίνει, ὅταν τι παρὰ τὸ φαινόμενον ἡμῖν ἢ διηγορευμένον καλὸν διαπραττώμεθα, ταῦτα δὴ πάντα καὶ ἐπράττετο παρ' ἡμῶν· ἵνα εἴπῃ ὅτι θνητοὶ τὴν φύσιν ὄντες καὶ περὶ τὸ ἁμαρτάνειν πολλὴν διὰ τοῦτο τὴν ῥοπὴν ἔχοντες, ἅπαν εἶδος ἐπετελοῦμεν ἁμαρτίας, καίτοιγε διαφόροις τοῖς νόμοις παιδευόμενοι ὧν ἀπέχεσθαι προσῆκον ἦν ἡμᾶς. Καὶ τί τὸ ἐντεῦθεν γινόμενον; «Εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ»[1]. Λέγει δὲ ὅτι ἐντεῦθεν ἡμῖν ἐπεσφίγγετο τοῦ θανάτου ἡ τιμωρία· ὡς γὰρ ὑπὸ τῆς θνητότητος μείζονα τοῦ ἁμαρτάνειν τὴν ἐνόχλησιν ὑπεμένομεν, οὕτως ἡ τιμωρία ὑπὸ τοῦ πταίειν ἡμῖν ἐπεσφίγγετο, καὶ ὁ νόμος οὐδὲν ἡμᾶς ὠφελεῖν ἠδύνατο, τοὐναντίον δὲ καὶ ἁμαρτημάτων ἐγίνετο πρόξενος, ἐπειδὴ ταῖς διαγορεύσεσι τἀναντία διεπραττόμεθα.

## Ρωμ. 7,6

Ἀλλὰ πάντα νῦν, φησί, μεταβέβληται· τῷ γὰρ βίῳ τούτῳ νεκροὶ γεγόναμεν, ᾧ δὴ τυγχάνοντες ὥσπερ ὑπό τινος ἀνάγκης κατειχόμεθα εἰς τὸ τῷ νόμῳ πολιτεύεσθαι. Ὅθεν οὐδέ ἐστί τις ἡμῖν κοινωνία βίου πρὸς αὐτὸν τοῦ λοιποῦ· ἀνακαινισθέντες γὰρ τῇ δυνάμει τοῦ Πνεύματος καὶ ἕτεροι μὲν ἀνθ' ἑτέρων γεγονότες[2], μεταστάντες δὲ εἰς ἄφθαρτον ζωὴν ἀπὸ τοῦ παρόντος βίου, οὐδεμίαν ἁμαρτημάτων ἐνόχλησιν ὑπομένομεν. Οὐκοῦν οὐδὲ νόμων δεόμεθα καὶ γραμμάτων τῶν διδασκάλων ἡμᾶς **126** τοῦ κακοῦ τὴν ἀποχήν· ταῦτα γὰρ τοῖς ἐν τῇ τοῦ βίου τούτου παλαιότητι καθεστῶσι χρήσιμα εἶναι δύναται, οὐ τοῖς ὑπὸ τοῦ Πνεύματος ἀνακαινισθεῖσι καὶ γεγονόσιν ἀφθάρτοις, οἷς νόμων οὐκέτι χρεία διὰ τὸ μηδὲ ἁμαρτάνειν ἐπιδέχεσθαι. Οὕτω κρείττονα τὰ ἡμέτερα ἐκείνων φησὶ καὶ πολλῷ μείζονα τὰ κατὰ Χριστὸν ὠφέλειαν ἔχοντα τῶν ὑπὸ τῷ νόμῳ παιδαγωγουμένων.

## Ρωμ. 7,7

Αἰσθόμενος ἀπό τε τοῦ «τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου», καὶ ἀπὸ τοῦ «νόμος δὲ παρεισῆλθεν ἵνα πλεονάσῃ τὸ

**1.** Ρωμ. 7,5. **2.** Πρβλ. Ρωμ. 7,6.

παρά[809]πτωμα»[1], καὶ ἑτέρων πλειόνων ὧν ἐν τοῖς ἀνωτέροις εἰρήκει, διαβολήν τινα ἐπιφυομένην τῷ νόμῳ ὡς ἂν αἰτίῳ καὶ ποιητικῷ τῶν ἁμαρτημάτων, τρέπεται μὲν ἐπὶ τὸν περὶ τούτων λόγον. Ἄρχεται δὲ τῆς ἀντιθέσεως οὕτως λέγων· «τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία;»[2]. Ἀλλ' ἄρα, φησί, μὴ τοῦτο ἀπὸ τῶν ἡμετέρων δείκνυται ῥημάτων, ὅτι δὴ φαῦλος καὶ ποιητικὸς ἁμαρτίας ὁ νόμος; «Μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου». Τοὐναντίον οὐδ' ἂν ἔγνων τὴν ἁμαρτίαν ἧς ἐκκλίνειν προσήκει τὴν πρᾶξιν, εἰ μὴ νόμος ἦν ὁ τῇ διακρίσει τοῦ τε καλοῦ καὶ τοῦ χείρονος παιδεύων ἡμᾶς ἅ τε ποιεῖν καὶ ὧν ἀπέχεσθαι δεῖ· ὥστε ὁ νόμος ἡμῖν τοῦ μίσους τῆς ἁμαρτίας ἐγένετο αἴτιος, ὃς ὑπέδειξέν τε αὐτὴν καὶ ἀποφεύγειν προσέταξεν καὶ σαφέστερον ποιῶν τὸ εἰρημένον ἐπήγαγεν· «τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν εἰ μὴ ὁ νόμος ἔλεγεν· οὐκ ἐπιθυμήσεις». Πολλῶν ἐπιθυμεῖν ἡμᾶς κατὰ τὸν παρόντα βίον συμβέβηκεν, οὐ βρωμάτων καὶ πομάτων καὶ γαμικῆς κοινωνίας μόνον ἀλλὰ καὶ δόξης καὶ χρημάτων· ὧν δὲ τὴν ἐπιθυμίαν ἐνοῦσαν ἔχομεν, τούτων οὐκ ἄν ποτε εἶναί τι φαῦλον ἡγησάμεθα, μὴ νόμου διδάσκοντος ἡμᾶς ὧν ἐπιθυμοῦντας ἀπέχεσθαι προσήκει. Ὥσπερ οὖν καὶ τῶν ‹ἀ›λόγων ἕκαστον ἀπαραιτήτως τὴν οἰκείαν ἐκπληροῦν ἐπιθυμίαν ἐπείγεται, ἅτε δὴ οὐδενὸς αὐτὰ πρὸς τοὐναντίον ἀνθέλκοντος ὑφ' οὗ πρὸς μάχην τῆς οἰκείας ὀρέξεως καταστήσεται. Εἶτα ὑποδείγματι κέχρηται τοῖς περὶ τὸν Ἀδὰμ εἰς μείζονα τοῦ λεγομένου σαφήνειαν· νόμος γὰρ ἦν καὶ ἡ πρὸς ἐκεῖνον ἐντολὴ περὶ τοῦ φυτοῦ γενομένη καὶ συνεβάλλετο τὰ κατ' ἐκεῖνον εἰς σύστασιν τῶν περὶ τοῦ νόμου λόγων.

## Ρωμ. 7,8

Ὑποδείγματι κέχρηται τοῖς περὶ τὸν Ἀδάμ, ἐπεὶ κἀκεῖνος προκειμένων ἐπὶ τοῦ Παραδείσου τῶν φυτῶν ἀδεῶς ἁπάντων μεταλαμβάνειν **127** ἐδύνατο, εἰ μὴ νόμος αὐτῷ τις περὶ ἀποχῆς ἔτυχε δοθείς, καὶ οὐκ ἦν ἁμάρτημα τὸ μετὰ τῶν λοιπῶν βουληθέντα κἀκείνου φαγεῖν. Ἐπειδὴ δὲ ἐντολὴν ἐδέξατο ἀποσχέσθαι τοῦ φυ-

1. Ρωμ. 7,8. 2. Ρωμ. 7,7.



τοῦ τῆς βρώσεως, ἐπιθυμία μέν τις ἐνῆν αὐτῷ τῆς μεταλήψεως, ὡς εἰκός, τοῦ καρποῦ, ἐκωλύετο δὲ ὅμως ὑπὸ τῆς ἐντολῆς ἁμάρτημα εἶναι τὸ φαγεῖν τῶν ἀπαγορευθέντων ἡγούμενος. Ἐντεῦθεν ἡ ἁμαρτία πάροδον ἔσχεν, τῆς μὲν ἐντολῆς ἐπεχούσης τὴν βρῶσιν, τοῦ δὲ Ἀδὰμ οὐ πρὸς τὴν ἀξιοπιστίαν τῆς ἐντολῆς βουληθέντος ἰδεῖν, ἀλλὰ πιστωθέντος μὲν τοῦ ἐπιβούλου τοῖς λόγοις, ὅλου δὲ τῆς ἐπιθυμίας τοῦ φαγεῖν γεγονότος. Καὶ οὐ μόνον ἀφορμὴ τῆς ἁμαρτίας ἐντεῦθεν ἐγένετο, ἀλλὰ γὰρ ἔτι κἀκεῖνο ἐμάθομεν, ὡς οὐχ ἁπάτη ταῖς ἐπιθυμίαις προσῆκεν ἕπεσθαι ἡμᾶς, δοκιμάζοντας δὲ ἃ χρὴ ποιεῖν, τῶν ἑτέρων ἀπ[812]έχεσθαι, οἷς οὐκ ἐμμένοντες δῆλοι πάντως ἐσμὲν ἁμαρτάνοντες. Ὥστε οὐ κατ' ἐκεῖνο μόνον ἡ ἁμαρτία τὴν πάροδον ἔσχεν διὰ τῆς ἐντολῆς, καθὸ τοῦ φυτοῦ μετειλήφαμεν, ἀλλὰ γὰρ καὶ ὅτι μὴ πάσαις ἕπεσθαι ταῖς ἐπιθυμίαις ἁπλῶς ἐντεῦθεν μανθάνοντες ἡμαρτάνομεν, τὰ τῆς ἐπιθυμίας παρὰ τὸ δέον πληροῦν ἐπειγόμενοι· τοῦτο γὰρ λέγει τό «κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν»[1] ἀντὶ τοῦ παντὸς ἁμαρτήματος ἀπό τινος ἐπιθυμίας τικτομένου. Ἐντεῦθεν ἡ ἀρχὴ γέγονεν ἡμῖν, ἅ τε δὴ τῆς διακρίσεως τὰς ἀφορμὰς δεξαμένοις ἐντεῦθεν. Οὕτω καὶ ἐν τοῖς ἀνωτέροις τό «τὴν ἐπιθυμίαν οὐκ ᾔδειν εἰ μὴ ὁ νόμος ἔλεγεν· οὐκ ἐπιθυμήσεις»[2], ἀντὶ τοῦ οὐκ ἂν ᾔδειν ὡς οὐ δεῖ τι ποιεῖν τῶν ἐν ἐπιθυμίᾳ κειμένων, εἰ μὴ νόμος ἦν ὁ τοῦτο διορίζων ἡμῖν· καὶ γὰρ τό «ἐν ἐμοί» ὅτε λέγει, τὸ κοινὸν λέγει τῶν ἀνθρώπων καὶ τοῖς τοῦ Ἀδὰμ εἰς ἀπόδειξιν κέχρηται τῶν κοινῶν. Ὅθεν ἐπὶ τοῦ οἰκείου κἀκεῖνο λέγει προσώπου, διὰ πάντων δεῖξαι βουλόμενος, ὅτι ἀναγκαίως μὲν κατὰ τὸν παρόντα βίον νόμοις πολιτευόμεθα, ὑφ' ὧν ἡ ἔμφυτος ἀνακινεῖται διάκρισις, παιδευομένων ὧν τε ἀπέχεσθαι καὶ ἃ ποιεῖν προσήκει, ὥστε καὶ τὸ λογικὸν ἐν ἡμῖν ἐνεργὸν εἶναι. Χρεία δὲ τῆς μελλούσης ἡμῖν καταστάσεως ἐν ᾗ γεγονότες τὰ φαινόμενα ἡμῖν καλά, ταῦτα καὶ ποιῆσαι δυνησόμεθα ῥᾳδίως. Ὅθεν τῆς οἰκείας ἐχόμενος ἀκολουθίας καὶ τοῦ δεικνύναι, ὡς οὐδ' ἄν τις ἦν ἐν ἡμῖν διάκρισις τοῦ τε καλοῦ καὶ τοῦ χείρονος, οὐδὲ ἁμαρτίας ἐπίγνωσις, εἰ μὴ νόμῳ ταῦτα διώριστο παρ' ἡμῖν, ἀλόγων δὲ δίκην τὸ προστυχὸν ποιεῖν ἅπαν ἐμέλλομεν,

1. Ρωμ. 7,8. 2. Ρωμ. 7,7.

ἐπάγει· «χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά». Οὐδ' ἂν ἐνεργηθείη, φησίν, ἁμάρτημα μὴ νόμῳ διωρισμένον. Διὰ τί; Ὅτι οὐχ ἡ πρᾶξις ἁμάρτημα ἁπλῶς, ἀλλὰ τὸ εἰδότα ὧν ἀπέχεσθαι προσήκει, ποιεῖν τι παρὰ τὰ ἐγνωσμένα καλῶς ἔχειν.

## Ρωμ. 7,9-11

**128** Πάλιν ἐπὶ τὸ παράδειγμα χωρεῖ εἰς τὴν τοῦ προκειμένου πίστωσιν, καί φησιν· «ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ», περὶ τοῦ Ἀδὰμ λέγων, ὡς ἂν ὅτε εὐθὺς ἐγένετο ἔξω νόμου τυγχάνοντος, πρὶν ἢ δέξασθαι παρὰ τοῦ Θεοῦ τῆς ἀποχῆς τοῦ φυτοῦ τὸ ἐπίταγμα· δῆλον γὰρ ὡς ἐγένετο πρότερον, εἶτα τὴν ἐντολὴν ἐδέξατο ὕστερον. Ὅθεν ἐπάγει· «ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν»[1], «ἐγὼ δὲ ἀπέθανον, καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον»[2]. Ἐπειδὴ δέ, φησίν, ὁ Θεὸς τὸν περὶ τοῦ φυτοῦ δέδωκε νόμον, καὶ διάκρισις ἐγένετο δύο πραγμάτων, ἡ μὲν ἁμαρτία παρείσδυσιν ἔσχεν[3], ἐγὼ δὲ τἀναντία ποιήσας τοῖς τῷ Θεῷ δεδογμένοις, θανάτῳ κατεκρίθην, γέγονέ τε ἡμῖν λοιπὸν θανάτου παρεκτικὸς ὁ παρὰ τοῦ Θεοῦ τεθεὶς νόμος ἐπὶ τῷ ζῆσαι πεισθέντας αὐτῷ. Ὁ γάρ τοι μακάριος Παῦλος ἐλήλυθε μὲν ἐπὶ τούτους ἀπὸ τοῦ νόμου τοὺς λόγους, δεῖξαι βουλόμενος ὡς οὐ φαῦλον αὐτὸν ἡγεῖται· κοινῶς δὲ λοιπὸν περὶ τῆς τοῦ νόμου **[813]** φύσεως διαλέγεται, τὸ χρειῶδες αὐτοῦ καὶ ὠφέλιμον διδάσκων, ὅθεν καὶ τῆς πρὸς τὸν Ἀδὰμ μέμνηται ἐντολῆς, ἐπειδὴ ἀρχὴ νόμου τοῖς ἀνθρώποις ἐκεῖνος ἐγένετο. Καὶ συμπλέκων ἀμφότερα καλῶς ἐπάγει· «ὥστε μὲν ὁ νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία» καὶ τὰ ἑξῆς.

## Ρωμ. 7,12

Τῆς πρὸς τὸν Ἀδὰμ μέμνηται ἐντολῆς, ἐπειδὴ ἀρχὴ νόμου τοῖς ἀνθρώποις ἐκεῖνος ἐγένετο. Καὶ συμπλέκων ἀμφότερα λέγει· «ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή»[4], ἵνα εἴπῃ ὅτι ἀμφότερα τοίνυν ἄγαν ὠφέλιμα. Καλῶς δὲ ἐπὶ τῆς ἐντολῆς πλείοσιν ἐχρήσατο τοῖς ἐπαίνοις, ἅτε δὴ καὶ τῆς δόσε-

**1.** Ρωμ. 7,9. **2.** Ρωμ. 7,10. **3.** Πρβλ. Ρωμ. 7,11. **4.** Ρωμ. 7,12.



ως οὐκ ἐπ' ἀναγκαίοις κατὰ τὸ πρόχειρον δοξάσης δεδόσθαι καὶ θανάτου παρεκτικῆς ἅπασι γενομένης. Ἐκάλεσε δὲ αὐτὴν «ἁγίαν» μὲν ὡς τὰς ἀφορμὰς παρέχουσαν τῆς τε τοῦ καλοῦ καὶ τοῦ κακοῦ διακρίσεως καὶ τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος ἀφορίζουσαν, «δικαίαν» δὲ ὡς ἀναγκαίως μετὰ τὸ δεῖξαι τὸ καλὸν ἐπάγουσαν τῷ παραβάτῃ τὴν τιμωρίαν, ἀλλὰ καί «ἀγαθήν» ὡς καλῶν παρεκτικήν, τό τε παρέχειν τὴν διάγνωσιν καὶ τὸ μείζονα πειθομένοις ὑπισχνεῖσθαι καλά.

## Ρωμ. 7,13

**129** Ἀντιτίθησιν ἑαυτῷ τὸ παρ' ἑτέρων καιρίως λέγεσθαι δυνάμενον καί φησιν· «τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονε θάνατος;»[1]. Καὶ τοῦτο ἀγαθόν, φησίν, ὃ θανάτου κατέστη μόνον αἴτιον, ἀγαθοῦ δὲ οὐδενός; «Μὴ γένοιτο», ἀντὶ τοῦ οὐχ οὕτως ἔχει· οὐ θανάτου μὲν αἴτιον ἐγένετο, ἀγαθὸν δὲ παρέσχεν οὐδέν. Καὶ τίνος ἐξ αὐτῆς ἀπελαύσαμεν ἀγαθοῦ; «Ἀλλ' ἡ ἁμαρτία», φησίν, «ἵνα φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον». Εἰ γεγονὼς ὁ Ἀδὰμ κατελείφθη μηδένα νόμον δεξάμενος, οὐδὲν ἂν διήλλαττεν ἀλόγου, διάκρισιν μὲν οὐδεμίαν ἔχων καλοῦ τε καὶ χείρονος, πᾶν δὲ τὸ προστυχὸν ἁπλῶς καὶ ὡς ἔτυχε διαπραττόμενος. Οὔτε οὖν ἁμάρτημα εἶναι τὸ ποιῆσαί τι τοῖς θείοις ὑπεναντίον νόμοις ἠπίστατο, οὔτε μὴν ἀγαθὸν τὸ ποιεῖν ὅσα ἐκείνοις ἀκόλουθα· πόθεν γὰρ καὶ εἰδέναι τοῦτο προσῆκεν νόμον οὐκ εἰληφότι; Οὐκοῦν ἡ δόσις τῆς ἐντολῆς καὶ διάκρισιν αὐτῷ τοῦ τε καλοῦ καὶ τοῦ χείρονος παρέσχεν· ὑπακοῆς τε γὰρ ἐξουσία καὶ παρακοῆς αὐτῷ προὔκειτο πρὸς ἑκάτερον αὐτῶν δυναμένῳ ῥέπειν, ὡς ἂν ἐβούλετο. Καὶ ἐγνώρισεν αὐτῷ, τί μὲν ἁμάρτημα, τί δὲ δικαιοσύνη, καλὸν μὲν εἶναι τὸ πεισθῆναι τοῖς νόμοις γνωρίζουσα, ἁμάρτημα δὲ τὸ ποιεῖν τι τῶν θείων νόμων ἀλλότριον. Καὶ ἐπειδὴ παρέβη τὸ θεῖον ἐπίταγμα, εἶτα τὴν ὑπὲρ τοῦ πλημμελήματος τιμωρίαν ἐδέξατο, μεῖζον κατὰ τῆς ἁμαρτίας τὸ μῖσος ἐκτήσατο, πάλαι μὲν λόγῳ παιδευθεὶς ὡς ἡ ἁμαρτία κακόν τι καὶ θανάτου παρεκτι-

**1.** Ρωμ. 7,13.

κόν, ὕστερον δὲ ἐπὶ τῶν ἔργων τῆς ἁμαρτίας ἐγνωκὼς τὴν φαυλότητα· καὶ γὰρ ὅσῳ διὰ τὴν παράβασιν ὑπὸ τὴν τιμωρίαν αὐτὸν καταστῆναι συνέβη, τοσούτῳ μισεῖν τὴν ἁμαρτίαν ὡς αἰτίαν αὐτῷ τῶν κακῶν παρεσκευάζετο. Τὸ οὖν «ἡ ἁμαρτία ἵνα φανῇ ἁμαρτία», ἀντὶ τοῦ ὥστε φανῆναι τὴν ἁμαρτίαν ὅ πέρ ἐστιν. Τί δὲ τοῦτο, αὐτὸ τοῦτο ἁμαρτία; Ἵνα εἴπῃ κακόν. Πόθεν δὲ τοῦτο ἐφάνη; Διὰ τοῦ ἀγαθοῦ, ἵνα εἴπῃ «διὰ τῆς ἐντολῆς», καὶ ὅπως ἐφάνη, «κατεργαζομένη θάνατον» ἀφ' ὧν θανάτου γίνεται πρόξενος. Συνεβάλλετο οὖν μοι τὸ ἀγαθόν, ἵνα εἴπῃ ἡ ἐντολή, πρὸς τὸ γνῶναι τὴν ἁμαρτίαν ὅτι δὴ κακῶν καὶ χειρόνων αἴτιον, ὥστε καὶ μισεῖν αὐτὴν διὰ τοῦτο. Ἀγαθὸν ἄρα ἡ ἐντολὴ τῆς διακρίσεως καὶ τοῦ πρὸς τὴν ἁμαρτίαν μίσους τὴν αἰτίαν ἡμῖν παρασχομένη· τὸ γὰρ «ἵνα» οὐκ ἐπ' αἰτίας, ἀλλὰ τὸ ἑπόμενον συνήθως λέγει. Ἀποδοτέον δὲ κατὰ τὴν ἔννοιαν τό «διὰ τοῦ ἀγαθοῦ μοι» **130** τῷ «ἡ ἁμαρτία ἵνα φανῇ ἁμαρτία», οὐ τῷ ἑξῆς τῷ «κατεργαζομένη θάνατον»[1]· λέγει γὰρ ὅτι «διὰ τοῦ ἀγαθοῦ» τοῦτ' ἔστι «τῆς ἐντολῆς, ἐφάνη μοι ἡ ἁμαρτία» καὶ κατάδηλος ἐγένετο ἡλίκον ἐστὶ κακόν, ὡς καὶ θάνατον ἀποτελεῖν κατὰ τῶν ἐπιτηδευόντων αὐτήν. Εἶτα καὶ ἕτερον· «ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς». Τὸ ἵνα κἀνταῦθα οὐκ ἐπ' αἰτίας, ἀλλὰ τὸ ἑπόμενον συνήθως λέγει. Ἔστι δὲ κατὰ τὴν ἔννοιαν ἐλλειπές, ἐπισυνημμένον τῷ πρὸ αὐτοῦ· οὐ γὰρ κατὰ ποίησιν τό «ἵνα γένηται» λέγει, ἀλλὰ κατὰ φανέρωσιν, ἀντὶ τοῦ ἵνα γένηται ἡμῖν κατάδηλος «ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς» ἄγαν οὖσα «ἁμαρτωλός». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἁμαρτωλὸν καλοῦμεν τὸν πρὸς τἀναντία ῥέποντα καὶ ταῦτα ἐπιτηδεύοντα· οὕτω δὲ καὶ ἡ θεία λέγει Γραφή, ὅθεν καὶ ἁμαρτωλὸν ὁ Ἀπόστολος ἐπὶ τοῦ παρόντος τὴν ἁμαρτίαν καλεῖ, ὡς ἂν πρόξενον ἡμῖν τῆς περὶ τὸ ἁμαρτάνειν καταστᾶσαν ῥοπῆς. Βούλεται δὲ διὰ πάντων εἰπεῖν, τίνος αἴτιος ἀγαθοῦ τῆς ἐντολῆς ἡ δόσις ἐγένετο· λέγει γὰρ ὅτι ὑπὸ μὲν τῆς ἁμαρτίας ἐγενόμεθα θνητοὶ τὴν φύσιν, θνητοὶ δὲ γεγονότες πολλὴν περὶ τὸ πταίειν τὴν ῥοπὴν ἐκτησάμεθα[2]. Ἔγνωμεν οὖν λοιπὸν πανταχόθεν τῆς ἁμαρτίας τὴν φαυλότητα· τοῦτο μὲν ἀφ' ὧν θανάτου πρόξενος ἡμῖν ἐγένετο,

1. Ρωμ. 7,13. 2. Πρβλ. Ρωμ. 7,10.



τοῦτο δὲ ἀφ' ὧν πολλήν τινα διὰ τοῦ θανάτου περὶ τὸ ἁμαρτάνειν τὴν ῥοπὴν ἡμῖν ἐνεποίησεν, ὡς πανταχόθεν τὸ κατ' αὐτῆς μῖσος ἀναγκαίως αὔξάνεσθαι ἐν ἡμῖν. Ἀλλὰ τούτων ἁπάντων αἰτία τῆς ἐντολῆς ἡ δόσις, ἧς ἐκτὸς οὔτε ἁμαρτήματος φύσιν εἰδέναι ἦν ἡμῖν δυνατόν, οὔτε ἡλίκων γίνεται πρόξενον κακῶν. Θαυμασιώτατα οὖν τῆς ἐντολῆς τὸ χρήσιμον ἔφη, εἴγε καὶ τὴν ἁμαρτίαν ὑπέδειξε καὶ μισεῖν αὐτὴν παρεσκεύασεν, ὡς καὶ ἐν τῇ τοῦ πταίειν συνεχείᾳ μεῖζον κατ' αὐτῆς διὰ τὴν ἐνόχλησιν ἀναδέχεσθαι μῖσος, ἐγνωκότας ἅπαξ ὅσον αἴτιον κακῶν τοῖς ἐπιτηδεύουσι γίγνεται. Ταῦτα ἀποκρινάμενος «τὸ οὖν ἀγαθὸν ἐμοὶ ἐγένετο θάνατος» ἔχεται τῆς οἰκείας ἀκολουθίας, καὶ ἐπειδὴ διὰ πάντων ἔδειξεν αὐτάρκως τοῦ νόμου τὸ χρήσιμον, παρασχόντος ἡμῖν τὴν καθόλου διάκρισιν ὧν τε ποιεῖν ἡμᾶς καὶ ὧν ἀπέχεσθαι προσήκει, δείκνυσι λοιπὸν αὐτοῦ καὶ τὸ ἄτονον, ὥστε κατὰ παράθεσιν φανῆναι τῶν διὰ τοῦ Χριστοῦ τὸ μέγεθος καί φησιν οὕτως.

## Ρωμ. 7,14

Τό «πνευματικός» ἀντὶ τοῦ ὠφελεῖν καὶ παιδεύειν ἃ δεῖ δυνάμενος τὴν ψυχήν, τὸ δέ «σαρκικός» ἀντὶ τοῦ θνητὸς καὶ διὰ τοῦτο πολλὴν περὶ τὸ ἁμαρτάνειν ἔχων ῥοπήν· τοῦτο γὰρ λέγει τό «πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν»[1], ἐπειδήπερ ἡ πρᾶσις δοῦλον πάντως **131** ποιεῖ τὸν πεπραμένον ὑπὸ τὸν τῆς ὑπηρεσίας καθεστάμενον ἀνάγκην, ὡς ἂν οὕτω καὶ ἡμῶν διὰ τῆς θνητότητος εἰς τὴν τοῦ ἁμαρτάνειν ἑτοιμότητα καταστάντων. Βούλεται γὰρ εἰπεῖν ὅτι καλὸς μὲν ὁ νόμος· παιδεύει γὰρ τὴν ψυχήν, τίνα μὲν ἀγαπᾶν, τίνα δὲ ἀποστρέφεσθαι προσήκει, καὶ τὸ πάντων προτιμᾶν τῶν θείων νόμων τὸ βούλημα. Ὄφελος δὲ ἐμοὶ πρὸς τὸ ἀπηλλάχθαι τῆς ἁμαρτίας ἐντεῦθεν οὐ γίγνεται· θνητὸς γὰρ ὢν τὴν φύσιν καὶ πολλὴν διὰ τούτου περὶ τὸ ἁμαρτάνειν τὴν εὐκολίαν δεξάμενος, ἀπηλλάχθαι τοῦ πταίειν οὐ δύναμαι, κἂν μυριάκις ἃ προσήκει διὰ τοῦ νόμου παιδεύωμαι τὴν ψυχήν.

1. Ρωμ. 7,14.

## Ρωμ. 7,17-18

Καὶ τοῦτο μὲν νόμου, φησί, τὸ χρήσιμον δείκνυται, ἀφ' ὧν οὐδενὶ τῶν πραττομένων ἀρέσκομαι· ὁμολογῶ γὰρ ἄτοπα εἶναι, κἂν μυριάκις αὐτὰ διαπράττωμαι, τῷ πεπαιδεῦσθαι τοῦτο ὑπὸ τοῦ νόμου. Φαίνεται δὲ ἡ τῆς ἁμαρτίας ἰσχὺς οὕτω μου διὰ τὴν θνητότητα κρατοῦσα ὡς καὶ ἄκοντα πολλάκις ἐπὶ τὴν τῶν ἀτόπων καταφέρεσθαι πρᾶξιν. Καὶ τὸ αὐτὸ πάλιν· «οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τοῦτ' ἔστιν ἐν τῇ σαρκί μου, τὸ ἀγαθόν»[1]. Καὶ γὰρ ἐπίσταμαι, φησίν, ὅτι ὅσον ἐπὶ τῇ σαρκὶ θνητὴν ἐχούσῃ τὴν φύσιν, οὐδὲν τῶν εἰς ἀρετὴν συντελούντων πραχθῆναι δύναται· ἡ μὲν γὰρ θνητότης τῶν παρόντων ἐφίεσθαι μόνον ἡμᾶς παρασκευάζει, ἐκ δὲ τῆς περὶ ταῦτα σπουδῆς ἁμαρτήματα τίκτεται μᾶλλον, κατορθῶσαι δὲ ἀρετὴν εἰς ἄκρον οὐδαμῶς οἷόν τε μὴ τῶν παρόντων ὑπερορῶντα, κρείττονι λογισμῷ ἀθανάτων ἐφιέμενον πραγμάτων.

## Ρωμ. 7,19-20

Ἐπιμένων τοῖς αὐτοῖς· «οὐ γὰρ ὃ θέλω ποιῶ», φησίν, «ἀγαθόν, ἀλλ' ὃ οὐ θέλω κακόν, **[816]** τοῦτο πράσσω. Εἰ δὲ ὃ οὐ θέλω τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία»[2]. Τὸ γὰρ αὐτὸ κἀνταῦθα λέγει, ὅτι τῇ μὲν ψυχῇ αἱροῦμαι τὸ καλὸν ὑπὸ τοῦ νόμου παιδευόμενος ἃ δεῖ, ποιῶ δὲ οὐχ ἃ βούλομαι πολλάκις, ἀλλὰ ἃ μὴ βούλομαι μᾶλλον· βούλομαι μὲν γὰρ τὰ τοῖς θείοις νόμοις ἀκόλουθα, πράττω δὲ τἀναντία ὧν ἐπίσταμαί τε καὶ βούλομαι καλῶν, ὡς ἐντεῦθεν τῆς ἁμαρτίας φαίνεσθαι τὴν ἰσχὺν ἣν κατ' ἐμοῦ διὰ τῆς θνητότητος ἐπεκτήσατο, εἴπερ δὴ καὶ παρὰ γνώμην ἐπὶ τὴν οἰκείαν με καθέλκειν δύναται πρᾶξιν. Τὸ γὰρ «οὐκ ἐγὼ κατεργάζομαι» ἀνωτέρω κἀνταῦθα λέγει τὸ παρὰ γνώμην. Διὰ πάντων δὲ τούτων ἀπὸ τοῦ «οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν»[3], βούλεται εἰπεῖν, ὅτι καλὸς μὲν ὁ νόμος παιδεύων ἃ δεῖ τὴν ψυχὴν καὶ τούτου γε ἕνεκεν σφόδρα χρήσιμος, ἐγὼ δὲ διὰ τῆς θνητότητος πολλὴν περὶ τὸ ἁμαρτάνειν τὴν **132** εὐκολίαν δεξάμενος, ἀπηλλάχθαι τοῦ πταίειν διὰ τῆς τοῦ λόγου

1. Ρωμ. 7,18. 2. Ρωμ. 7,19-20. 3. Ρωμ. 7,14.



διδασκαλίας οὐ δύναμαι· πολλὴν μὲν γὰρ ἔχει τὴν ἰσχὺν ὁ νόμος ἐν τῇ τῆς ψυχῆς διδασκαλίᾳ, καὶ τοῦτο δῆλον ἐξ ὧν ἀκριβὴς ἔγκειται ἡμῖν ἥ τε τοῦ καλοῦ καὶ τοῦ κακοῦ διάκρισις· οὐδὲ πώποτε γοῦν ὑπὸ τοῦ πλήθους τῶν ἁμαρτημάτων τὸ εἰδέναι τοῦτο ἀπεβάλλομεν, τοὐναντίον δὲ καὶ μυρία πταίοντες τοῦ γοῦν εἰδέναι τῆς ἁμαρτίας τὴν φαυλότητα ἐκτὸς οὐ γεγόναμεν. Οὐ μὴν ἀφελεῖν ἡμῶν τὸ ἁμαρτάνειν δεδύνηται τῆς θνητότητος πολλὴν τούτου τὴν εὐκολίαν ἡμῖν ἐργασαμένης, ἀλλὰ κἂν σφόδρα διὰ τῆς οἰκείας διδασκαλίας πολλὴν τοῦ προσήκοντος ἐνεργάσηται τὴν διάθεσιν, ἄκοντες καὶ ὡς οὐκ ἴσμεν, πολλάκις εἰς τὴν τῶν ἀτόπων ὑποφερόμεθα πρᾶξιν.

## Ρωμ. 7,21

Κατὰ διαίρεσιν ἀναγνωστέον· «εὑρίσκω ἄρα τὸν νόμον ἐμοὶ τῷ θέλοντι ποιεῖν τὸ καλόν», εἶτα ἑξῆς· «ὅτι ἐμοὶ τὸ κακὸν παράκειται»[1]· ἕκαστον γὰρ αὐτῶν ἰδίᾳ τελείαν καὶ ἀπηρτισμένην ἔχει τὴν ἔννοιαν, τὸ μέν «τῷ θέλοντι ἐμοί» κατὰ τὴν ψυχὴν λέγοντος, τὸ δὲ ὅτι «ἐμοὶ τὸ κακὸν παράκειται» κατὰ τὴν σάρκα. Λέγει γὰρ ὅτι κατὰ μὲν τὴν ψυχὴν χρήσιμος ὁ νόμος, παιδεύων αὐτὴν ἐφίεσθαι τοῦ καλοῦ, ἀποστρέφεσθαι δὲ τὸ κακόν, τὴν περὶ τὸ ἁμαρτάνειν δὲ ἡμῶν εὐκολίαν οὐδαμῶς δύναται ἀφελεῖν, ἥτις ἀπὸ τῆς θνητότητος ἐνεγένετο.

## Ρωμ. 7,22-23

Σφόδρα μὲν γὰρ ἐπὶ τοῖς τοῦ Θεοῦ νόμοις ἥδομαι, φησί, τὴν ψυχήν, ἐπαινῶν τε αὐτοὺς καὶ περὶ πολλοῦ ποιούμενος, ἀντιπράττουσα δὲ ἡ ἁμαρτία τῷ βουλήματι τῆς ψυχῆς διὰ πάντων, ὡς εἰπεῖν, τῶν μελῶν ἐπὶ τὴν ἑαυτῆς μεθέλκει πρᾶξιν. Καὶ καλῶς εἶπεν «ἐν τοῖς μέλεσιν»[2], ἐπειδὴ πολύτροπος ἡ ἁμαρτία, διὰ πάντων ἐπιτηδεύεσθαι φύσιν ἔχουσα τῶν μελῶν· τὰ μὲν γὰρ δι' ὀφθαλμῶν, τὰ δὲ διὰ γλώττης, τὰ δὲ ἑτέρως ἁμαρτάνομεν. Θαυμάσαι **[817]** δὲ ἄξιον ἐνταῦθα τοὺς διαπορήσαντας, πότερον τρεῖς

1. Ρωμ. 7,21. 2. Ρωμ. 7,22.

ἢ τέσσαρας νόμους ὁ ᾿Απόστολος βούλεται λέγειν, δήλης οὔσης καὶ ἀπολύτου τῆς διανοίας· ἀντὶ γὰρ τοῦ εἰπεῖν τὴν **133** ἁμαρτίαν, «νόμον» εἶπεν «ἁμαρτίας», οὐδὲν ἀλλοιότερον λέγων, κατά τι δὲ αὐτῷ οἰκεῖον τεθεικὼς ἰδίωμα. Οὕτω καὶ ἐν τοῖς ἀνωτέρω λέγει· «ὁ διὰ νόμου πίστεως»[1], καὶ μετὰ βραχέα δέ· «ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς»[2], ἀντὶ τοῦ εἰπεῖν τὸ πνεῦμα τῆς ζωῆς· ἐπειδὴ γὰρ σκοπός ἐστι νόμου παντὸς ἴδιος, ἐφ' ἑκάστου τὸ τοῦ νόμου προστίθησιν ὄνομα, ἵνα εἴπῃ τὸν σκοπὸν τοῦ πράγματος, περὶ οὗπερ ἂν λέγῃ, αὐτὸ τὸ πρᾶγμα καὶ οὐχ ἕτερον λέγων.

## Ρωμ. 7,25

Τῇ μὲν γὰρ ψυχῇ, φησίν, αἱροῦμαι τὰ δοκοῦντα τῷ νόμῳ τοῦ Θεοῦ, ὑπὸ δὲ τῆς θνητότητος ἐπὶ τὴν ἁμαρτίαν καθέλκομαι· ἀλλ' ἀπηλλάγμεθα τούτων ἁπάντων καὶ τιμωρίας ἁπάσης κατέστημεν ἐκτὸς οἱ διὰ τῆς ἐπὶ τὸν Χριστὸν πίστεως ἔξω γενόμενοι τῆς θνητότητος καὶ τοῦ κατ' αὐτὴν ζῆν. Τὸ γὰρ «κατὰ σάρκα»[3] τοῦτο λέγει ἀντὶ τοῦ ὡς θνητοὶ πολιτεύεσθαι, ὡς ἕπεται καὶ τό «κατὰ νόμον» ζῆν· τοῖς γὰρ θνητοῖς καὶ τὴν ἐπὶ τὸ χεῖρον ῥοπὴν δεχομένοις ἀναγκαῖος ὁ νόμος ἀπείργων τοῦ χείρονος, ἀθανάτοις δὲ καὶ ἀτρέπτοις γεγονόσι περιττὸς ἐξ ἀνάγκης καθέστηκεν.

## Ρωμ. 8,2

Τῇ τοῦ πνεύματος μετουσίᾳ τὴν ἀνάστασιν γίγνεσθαι ὁ ᾿Απόστολός φησιν· «σπείρεται» γάρ, φησί, «σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν»[4], ὡς ἂν αὐτοῦ τότε κρατοῦντος ἡμᾶς ἐν ἀφθαρσίᾳ τε καὶ ἀτρεπτότητι. «Πνεῦμα» οὖν αὐτὸ «ζωῆς» καλεῖ, ὡς ἂν τῆς ἀθανάτου ζωῆς παρεκτικὸν ἧς τότε τευξόμεθα. Τὸ τοίνυν Πνεῦμα, φησί, τὸ ἐπ' ἐλπίδι τῆς ἀθανασίας ἡμῖν δεδομένον, οὗ τὴν ἀπό**[820]**λαυσιν ἡ ἐπὶ τὸν Χριστὸν πίστις παρέσχηκεν ἡμῖν, ἀπήλλαξέν με τοῦ τε θανάτου καὶ τῆς ἁμαρτίας. Δῆλον δὲ ὅτι ἀπὸ τῶν μελλόντων ποιεῖται τὴν ἀπόδειξιν τῶν διὰ Χριστοῦ παρασχεθέντων ἡμῖν, ὅτε ἐπὶ τῶν πραγμάτων τὴν ἔκβασιν λήψεται, ἐπεὶ

**1.** Ρωμ. 3,27. **2.** Ρωμ. 8,2. **3.** Πρβλ. Ρωμ. 7,25. **4.** Α' Κορ. 15,44.



καὶ ἡ τοῦ θανάτου ἐλευθερία τότε ἡμῖν προσγενήσεται, οὐκ ἀντισταμένοις μόνον, ἀλλὰ γὰρ καὶ ἀθανάτου ζωῆς ἀξιουμένοις. Τότε δὲ καὶ τῆς ἁμαρτίας ἀπαλλαττόμεθα, τότε ἄτρεπτοι γεγονότες τῇ τοῦ Πνεύματος χάριτι, ἁμαρτεῖν οὐκ ἐπιδεχόμεθα· κατὰ γάρ τοι τὸν παρόντα βίον πρόδηλον ὡς θνητοί τέ ἐσμεν καὶ ὑπὸ τὴν τῆς ἁμαρτίας ἐνόχλησιν κείμεθα.

## Ρωμ. 8,3-4

**134** Ὁ μὲν οὖν νόμος, εἰ καὶ τὴν ψυχὴν ὠφελεῖ, φησίν, ἀλλὰ τῇ κατορθώσει τῆς ἀρετῆς ἀτονῶν ἐφαίνετο, ἀντιπραττούσης αὐτῷ τῆς θνητότητος καὶ πολλὴν τῆς ἁμαρτίας τὴν ἐνόχλησιν ἡμῖν ἐνεργαζομένης[1]· ὁ δέ γε Υἱὸς τοῦ Θεοῦ ἐν ταύτῃ γεγονὼς τῇ φύσει τῇ θνητῇ καὶ ἁμαρτίαις ὑποκειμένῃ, οὐχ ἑτέρου ἕνεκεν ἀλλ' ἢ ὥστε ἀφελεῖν αὐτῆς τὴν ἁμαρτίαν, ἀνεῖλε τὸ ἐνεῖναι δοκοῦν αὐτῇ κῦρος τῆς ἁμαρτίας, ἀφελὼν μὲν αὐτῆς τὴν θνητότητα, συνανελὼν δὲ αὐτῇ καὶ τῆς ἁμαρτίας τὴν ἐνόχλησιν, ὡς λοιπὸν τοῦ νόμου τὸν σκοπὸν καὶ τὸ βούλημα ἐν ἡμῖν πληροῦσθαι τοῖς ἀπηλλαγμένοις μὲν τῆς θνητότητος[2], ἐν ἀθανασίᾳ δὲ καθεστῶσιν· ὃ γὰρ οὐκ ἴσχυσε ποιεῖν ἐν ἡμῖν ὁ νόμος, ὅτε ἔτι θνητοὶ τὴν φύσιν ἦμεν, καίτοιγε πλεῖστα περὶ τοῦ μὴ δεῖν ἁμαρτάνειν διαλεγόμενος, τοῦτο ἡμῖν ἐν τῇ τῆς θνητότητος ἀφαιρέσει προσεγένετο, οὐδεμίαν ἐνόχλησιν ἁμαρτίας δυναμένοις ὑπομένειν, ἐπειδὰν ἅπαξ τὴν φύσιν ἀθάνατοι γενώμεθα.

## Ρωμ. 8,5-6

᾿Απεντεῦθεν λοιπὸν διὰ πλειόνων λέγει, ὅτι τοῖς μὲν θνητοῖς τὸ ἁμαρτάνειν ἕπεται πάντως, ἀθάνατοι δὲ γεγονότες ἀπηλλάγμεθα τούτου, ὥστε κατὰ παράθεσιν φανῆναι τὰ κατὰ Χριστὸν πλεῖστον ὑπερέχοντα τοῦ νόμου, εἴπερ ἐκεῖνος μὲν ἀφελεῖν τὸν θάνατον οὐκ ἠδύνατο, καὶ ἀνάγκη πᾶσα ἦν κρατεῖν ἐν ἡμῖν τὴν ἁμαρτίαν, κἂν μυριάκις ἐπαιδεύετο ἡ ψυχὴ τὸ δέον· ὁ δέ γε Χριστὸς τόν τε θάνατον ἀφεῖλε καὶ τὴν ἐνοῦσαν ἡμῖν τῆς ἁμαρτίας

**1.** Πρβλ. Ρωμ. 8,3. **2.** Πρβλ. Ρωμ. 8,4.

ἐνόχλησιν συνανεῖλε τῷ θανάτῳ. Ἤρξατο μὲν οὖν ἀπὸ τοῦ «δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχωμεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[1], τῶν διὰ τοῦ Χριστοῦ παρασχεθέντων ἡμῖν ἐξηγεῖσθαι τὸ μέγεθος σὺν πολλοῖς ἑτέροις, παραθέσει τῇ πρὸς τὸν νόμον δείξας αὐτῶν τὴν ὑπεροχήν. Ἐπειδὴ δὲ εἰς τὴν τῶν ἀνακυπτόντων ζητημάτων ἐτράπη λύσιν, ἀπολογησάμενος ὑπὲρ αὐτῶν, ὡς τοῖς προκειμένοις δέδεικται ἡμῖν σαφέστερον, καὶ δὴ καὶ ὑπὲρ τοῦ ἁμαρτίας ποιητικὸν λέγειν τὸν νόμον, ἔδειξε μὲν αὐτοῦ τὸ χρήσιμον ἀναγκαίως· καὶ τοῦτο δὲ ἐν τοῖς ἀρτίως ἑρμηνευθεῖσι σαφέστερον δεδηλώκαμεν. Πάλιν δὲ κατὰ παράθεσιν τοῦ νόμου λέγων τῶν διὰ τοῦ Χριστοῦ τὸ μέγεθος, ἐπὶ τὸν τῶν πρώτων ζητημάτων ἀνατρέχει λόγον καὶ τὸ δεικνύναι ὡς μεγίστων ἡμῖν ἀγαθῶν ὁ Χριστὸς ἐγένετο πρόξενος· οὗπερ ἕνεκεν κἀνταῦθα βούλεται διὰ πολλῶν δεικνύναι, ὅτι τῇ μὲν θνητότητι **[821]** τὸ ἁμαρτάνειν ἕπεται, ἀθάνατοι δὲ γεγονότες ἀπηλλάγμεθα τούτου. Διό φησιν· «οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσι»[2] καὶ τὰ ἑξῆς. Τοῦτο λέγει ὅτι οἱ μὲν θνητοὶ τὴν φύσιν ἀναγκαίως πλείστην τοῦ ἁμαρτάνειν τὴν **135** ἐνόχλησιν ὑπομένουσιν· τί γὰρ ἂν καὶ βουλεύσαιτο ἀθάνατον φύσις θνητή; Εἰ δὲ καί τίς ἐστιν ἐν ἡμῖν ἀρετή, οὐ τῆς σαρκός ἐστιν αὕτη ἀλλὰ τοῦ φρονήματος τῆς ψυχῆς, ἐπειδὰν ἀνωτέρα γένηται τῶν παρόντων. Οἱ μέντοι τοῦ Πνεύματος ἤδη μετεσχηκότες κρείττονα τούτων ἔχουσι τὸν λογισμόν, ἀθάνατοι γεγονότες τὴν φύσιν καὶ πάσης τῆς ἀπὸ τῶν χειρόνων ἐνοχλήσεως ἀπηλλαγμένοι· τοῦτο γὰρ λέγει τό «εἰρήνην», ἐπειδὴ ἐν τοῖς ἀνωτέροις παρὰ τοῖς τὴν φύσιν θνητοῖς πόλεμον εἶναι ἔφη, τῆς ἁμαρτίας ἀντιπραττούσης τῷ βουλήματι τῆς ψυχῆς, εἰρήνην ἐνταῦθα λέγων τὸ ἀφῃρῆσθαι τῆς ἁμαρτίας τὴν ἐνόχλησιν[3].

## Ρωμ. 8,9

«Ὑμεῖς δέ», φησίν, «οὐκ ἐστὲ ἐν σαρκί»[4], σαφῶς δηλοῖ ὅτι μὴ περὶ τῆς φύσεως ἐνταῦθα διαλέγεται τῆς ἡμετέρας — οὐ γὰρ ἔξω τῆς σαρκὸς γεγονόσι ταύτην Ῥωμαίοις ἐπέστελλεν —, λέγει δὲ

1. Ρωμ. 5,1. 2. Ρωμ. 8,5. 3. Πρβλ. Ρωμ. 8,6. 4. Ρωμ. 8,9.



τὴν ἀπὸ τῆς θνητότητος ἐνοῦσαν ἡμῖν τῆς ἁμαρτίας ἐνόχλησιν, ὥστε φανῆναι τῶν διὰ τοῦ Χριστοῦ τὸ μέγεθος ἀφελόντος ἡμῶν τὸν θάνατον ἐπὶ τῷ παντὸς ἀπηλλάχθαι τοῦ τῆς ἁμαρτίας πολέμου. Διὰ τοῦτο λέγει ὅτι «οὐκ ἐστὲ ἐν σαρκί», τοῦτ᾿ ἔστιν ἔξω τῆς ἀποφάσεως γεγόνατε τοῦ θανάτου, «ἀλλ᾿ ἐν πνεύματι»· ἐν ἐπαγγελίᾳ γὰρ τῆς ἀθανασίας ἤδη κατέστητε. Καὶ τίς ἡ τούτου ἀπόδειξις; «Εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν»[1]. Ἐδείξαμεν καὶ ἐν τοῖς ἀνωτέροις ὅτι τὴν ἀνάστασιν τῇ τοῦ πνεύματος μετουσίᾳ γίνεσθαί φησιν, ἀθανάτους τε καὶ ἀτρέπτους ἡμᾶς εἶναι τότε τῇ θείᾳ ποιοῦντες χάριτι· ἀλλ᾿ ἐπειδὴ τύπον ἐκείνων ἐπὶ τοῦ Βαπτίσματος ἐπλήρουν, ἐκομίζοντό τε δι᾿ αὐτὸ τοῦτο μερικὴν τοῦ Πνεύματος ἐνέργειαν ὥσπερ τινά «ἀῤῥαβῶνα» τῶν μελλόντων. Ἐπὶ τὸ καὶ περὶ ἐκείνων ἀναμφίβολον ἔχειν τὴν γνώμην καλῶς εἶπεν· «εἴπερ ἔχετε τοῦ Θεοῦ πνεῦμα οἰκοῦν ἐν ὑμῖν». Δῆλον ὡς ἀληθὴς ἡ περὶ τῆς Ἀναστάσεως ἐπαγγελία ἧς τὴν ἀπόλαυσιν ἡ τοῦ Πνεύματος μετουσία περιέσεσθαι ὑμῖν ἐλπίζεται· οὐδὲ γὰρ οἷόν τε τοὺς τὸν ἀῤῥαβῶνα ἐκείνων ὑποδεξαμένους μὴ καὶ τὸ λοιπὸν κομίσασθαι. Ὅτι δὲ Πνεῦμα εἶχον οἱ πιστεύοντες, ἀναμφίβολον ἦν ἀπὸ τῶν παρακολουθούντων ποτὲ σημείων εἰς τὴν τῶν λεγομένων πίστωσιν.

## Ρωμ. 8,14

Δῆλον οὖν ὅτι οἱ τοιοῦτοι τὴν μακαρίαν ζωὴν παρὰ τῷ ἑαυτῶν Πατρὶ ζήσονται.

## Ρωμ. 8,15

**136** Τό «πάλιν» ὡς πρὸς τό «δουλείας» ἀπέδωκεν. Ἀναγνωστέον οὖν οὕτως· «οὐ γὰρ ἐλάβετε πνεῦμα», εἶτα διαστήσαντα ἐπαγαγεῖν χρή· «δουλείας πάλιν εἰς φόβον». Περὶ γὰρ τῶν ἐν νόμῳ λέγει καὶ ἐν τῇ πρὸς Γαλάτας ὅτι «μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα»[2], δούλους τοὺς ἐν νόμῳ παραθέσει τῶν τοῦ μέλλοντος αἰῶνος καλῶν, ἐπειδὴ οὗτοι μὲν ὑπὸ προστάγματα

1. Ρωμ. 8,9. 2. Γαλ. 4,24.

ὄντες ἢ παραβαίνοντες ἐτιμωροῦντο ἢ φυλάττοντες ἐπαινοῦντο, ὅπερ οὖν τῶν δούλων ἴδιον εἶναι συμβέβηκεν. Ἐκεῖνοι δὲ χάριτι τοῦ Δεσπότου τῶν μελλόντων ἀγαθῶν κομιζόμενοι τὴν ἀπόλαυσιν, οὐδεμίαν ἔτι μεταβολὴν ὑφορῶνται, ὅπερ οὖν ὑπάρχει τοῖς τέκνοις ἐκ τῶν πατέρων ἔθος. Ὥσπερ γὰρ ἐν τῇ πρὸς Τιμόθεον λέγει· «οὐ γὰρ ἐλάβετε πνεῦμα δειλίας»[1], οὐχ ὡς ὄντος δειλίας πνεύματος, ἀλλ' ἀντὶ τοῦ ταῦτα ἐμποιεῖν τὸ πνεῦμα φύσιν οὐκ ἔχει, οὕτως ἐνταῦθα· «οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον»[2], ἀντὶ τοῦ πνεύματος μετεσχήκατε, οὐχ ἵνα πάλιν ὑπὸ δουλείαν ἦτε καὶ φόβον κατὰ τοὺς ἐν νόμῳ· ταῦτα γὰρ ἐνεῖναι τοῖς παντελῆ τοῦ Πνεύματος δεξαμένοις τὴν χάριν οὐχ οἷόν τε. Λάβετε πνεῦμα υἱοὺς ἐργαζόμενον Θεοῦ, ὅθεν καλεῖν πατέρα τὸν Θεὸν παραγόμεθα· δῆλον γὰρ ὅτι καὶ κατὰ τὴν τοῦ Κυρίου **[824]** παράδοσιν τήν «Πάτερ ἡμῶν ἐν τοῖς οὐρανοῖς»[3] ἐκάλουν Πατέρα τὸν Θεὸν οἱ τοῦ Βαπτίσματος ἠξιωμένοι. Καλῶς δὲ τό «ἀββᾶ ὁ Πατήρ»[4], ἐπειδὴ τῶν νηπίων ἴδιόν ἐστι τὸ ἀββᾶ καλεῖν τοὺς πατέρας· νήπιοι δὲ ἔτι κατὰ τὸν παρόντα βίον ἦσαν οἱ διὰ τοῦ Βαπτίσματος ἠξιωμένοι τῆς υἱότητος, τὴν τελείαν καὶ ἀληθῆ ἐπὶ τοῦ μέλλοντος προσδοκῶντες αἰῶνος. Τό «οὖν ἀββᾶ ὁ Πατήρ» τέθεικε τὸ μὲν εἰς μήνυσιν τῆς προσδοκωμένης τελειότητος, τὸ δὲ σύμβολον τῆς παρούσης καταστάσεως, ἐν ᾗ νηπίων δίκην οὐχ ὁλοτελῆ τῆς μετουσίας τῶν ἀγαθῶν κομισάμενοι τὴν ἀπόλαυσιν, περιέμενον τὸ ποτὲ αὐτοῖς προσέσεσθαι κἀκεῖνα ταῖς νῦν ἐπαγγελίαις ἀκολούθως.

## Ρωμ. 8,16-17

«Αὐτὸ τὸ Πνεῦμα τὸ Ἅγιον συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν»[5], ὅτι πνευματικῶς διάγομεν· διὸ καί «ἐσμὲν τέκνα Θεοῦ». Ἐὰν οὖν «συμπάσχωμεν» τῷ Χριστῷ, τοῦτ' ἔστιν ἐὰν τὰ αὐτὰ πάσχειν αἱρησώμεθα ἅπερ ὁ Χριστὸς τὴν ἀλήθειαν πρεσβεύων **137** ἔπαθεν ἑκών, ἐὰν διωκόμενοι καρτερῶμεν καὶ ὅσα ὅμοια πάσχωμεν ὑπὲρ εὐσεβείας, συνδοξασθησόμεθα αὐτῷ ἐν τῷ γενέσθαι

**1.** Β' Τιμ. 1,7. **2.** Ρωμ. 8,15. **3.** Ματθ. 6,9. **4.** Μάρκ. 14,36. Ρωμ. 8,15. Γαλ. 4,6. **5.** Ρωμ. 8,16.



«τέκνα Θεοῦ» καί «συγκληρονόμοι Χριστοῦ»[1]. Τίς δὲ ἡ κληρονομία, προείρηται ὀπίσω ἔνθα ὁ λόγος ἦν περὶ τοῦ «εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κεκένωται ἡ πίστις»[2].

## Ρωμ. 8,18

Τό «λογίζομαι»[3] ἀντὶ τοῦ λογισμῷ τῷ προσήκοντι πέπεισμαι τοῦτο οὕτως ἔχειν, ὡς τό «λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου»[4].

## Ρωμ. 8,19

«Καραδοκεῖν» λέγεται τὸ ἐλπίζειν, «ἀποκαραδοκεῖν»[5] δὲ τὸ ἀπελπίζειν. Τοίνυν λέγει τοιοῦτόν ἐστιν· ἓν σῶμα τὴν σύμπασαν κτίσιν ἐποίησεν ὁ Θεός, ὅθεν καὶ κόσμος λέγεται πάντα, εἴτε ὁρατὰ εἴτε ἀόρατα, ὡς ἐν τῇ πρὸς Κορινθίους φησὶν ὅτι «θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις»[6]. Ἐπειδὴ τοίνυν διαφορά τίς ἐστιν ἐν αὐτοῖς, τὸ τὰ μὲν εἶναι ὁρατά, τὰ δὲ ἀόρατα, βουλόμενος εἰς ἓν τὰ πάντα συνῆφθαι, πεποίηκε τὸν ἄνθρωπον ἐξ ὁρατοῦ μὲν συγκείμενον τοῦ σώματος καὶ συγγενοῦς τῇ φαινομένῃ κτίσει — ἐκ γῆς γὰρ σύγκειται καὶ ἀέρος καὶ ὕδατος καὶ πυρός —, ἀοράτου δὲ τῆς ψυχῆς καὶ οἰκείας τοῖς ἀοράτοις. Καὶ δὴ πεποίηκεν αὐτὸν ὥσπερ τι φιλίας ἐνέχυρον τοῖς πᾶσιν· χρήσιμα μὲν γὰρ αὐτῷ τὰ φαινόμενα, ὡς αὐτῇ τῇ πείρᾳ μανθάνομεν, ἐφεστᾶσι δὲ αὐτοῖς αἱ νοηταὶ φύσεις πρὸς τὸ ἡμῖν ὠφέλιμον αὐτὰ κινοῦσαι· καὶ τούτου μάρτυς ὁ Ἀπόστολος περὶ τῆς ἐναντίας λέγων δυνάμεως· «κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας»[7], ὡς εἶναι δῆλον ἡμῖν ὅτι πρὸ τῆς παραβάσεως εἰς τοὺς ἐφεστῶτας τῇ τοῦ ἀέρος κινήσει ὁ διάβολος συνετέλει. Καὶ μὴν καὶ τοῖς πρὸς διδασκαλίαν τῆς εὐσεβείας εἰς ἡμετέραν ὠφέλειαν ὑπηρετεῖσθαι σύνηθες αὐτοῖς, ὡς ὁ Ἀπόστολός φησιν· **[825]** «οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς

**1.** Ρωμ. 8,17. **2.** Ρωμ. 8,14. **3.** Ρωμ. 8,18. **4.** Ρωμ. 3,28. **5.** Ρωμ. 8,19. **6.** Α' Κορ. 4,9. **7.** Ἐφ. 2,2.

μέλλοντας κληρονομεῖν σωτηρίαν;»[1]. Ἐντεῦθεν τοίνυν αἱ ἀόρατοι φύσεις εἰς οἰκεῖα τίθενται τὰ καθ' ἡμᾶς εὐφραινόμεναι, εἰ δήποτε πρὸς τὸ κρεῖττον ῥέπειν ἡμᾶς συμβαίνει. Καὶ τοῦτο ἡμᾶς ὁ Κύριος διδάσκει λέγων «ἐπὶ ἑνὶ **138** ἁμαρτωλῷ ἐπιστρέφοντι καὶ ἀγγέλους χαίρειν ἐν οὐρανοῖς»[2]. Δῆλον δὲ ὅτι καὶ λύπην αὐτοῖς προξενεῖ τὰ καθ' ἡμᾶς ἐπὶ τὸ χεῖρον διακείμενα· οὐδὲ γὰρ ἂν εὐφραίνοντο ἡμῶν ἀφισταμένων τῆς τῶν ἀτόπων πράξεως, εἰ μὴ καὶ λύπην αὐταῖς ἐκίνει τὸ μένειν ἡμᾶς ἐπ' ἐκείνων. Οὕτω δὴ γνώμης ἔχουσαι περὶ ἡμᾶς, ὡς ἅτε δὴ οἰκεῖον καὶ συγγενὲς ζῷον αὐταῖς, ἡνίκα γεγονὼς ὁ Ἀδὰμ ἐδέξατο τοῦ Θεοῦ τὸ ἐπίταγμα[3], ὁμοῦ κἀκεῖνο ἀκούσας ὡς παραβὰς ἀποθανεῖται, ἐσκόπουν, ἥντινα ἄρα τὰ κατ' αὐτὸν τὴν ἔκβασιν λήψεται· καὶ ἐπειδὴ παραβὰς θνητὸς ἐγένετο διὰ τῆς ἀποφάσεως, ἐχωρίζετό τε ὡς εἰκὸς ἡ ψυχὴ τοῦ σώματος καὶ ὁ μηχανηθεὶς διὰ τοῦ ἀνθρώπου σύνδεσμος τῆς κτίσεως διελύετο, τούτῳ τῷ τρόπῳ ἐσκυθρώπαζον αἱ νοηταὶ φύσεις ἐπὶ τοῖς γιγνομένοις, περὶ ἡμᾶς τε οὐχ εἶχον οἰκείως ὡς ἂν τοιούτων γεγονότας αἰτίους κακῶν· ὡς δὲ καὶ τοῦ χρόνου προϊόντος οἱ καθ' ἑξῆς ἄνθρωποι μειζόνως ἐπὶ τὸ χεῖρον προβαίνοντες ἐπέσφιγγον ἑαυτοῖς τοῦ θανάτου τὴν ἀπόφασιν, πάντα μὲν τὰ καθ' ἡμᾶς ἀπεγίνωσκον, μεῖζον δὲ καθ' ἡμῶν ἀνεδέχοντο τὸ μῖσος· ὅθεν οὐδὲ πράττειν ὑπὲρ ἡμῶν ἐβούλοντό τι λοιπόν, τοῦτο μὲν ὡς ἀλλοτρίους ἑαυτῶν ἀποστρεφόμενοι, τοῦτο δὲ ὡς ἐχθροὺς τοῦ Θεοῦ μυσαττόμενοι. Τί οὖν ἐπὶ τούτοις ἐγένετο; Ἔφησεν αὐτοῖς ὁ Κύριος ὡς ποιήσει τὴν καθ' ἡμᾶς διόρθωσιν, ἀναστήσας τε ἡμᾶς καὶ ἀθανάτους ἐργασάμενος, ὡς μηκέτι μηδεμίαν δεδοικέναι πάλιν μεταβολὴν καὶ διάλυσιν τοῦ κοινοῦ συνδέσμου τῆς κτίσεως. Ταύτην δεξάμενοι τὴν ὑπόσχεσιν ηὐθύμουν, μαθόντες ὡς ἡ θεία Χάρις τῶν ἡμῖν ἐπταισμένων ποιήσεται τὴν διόρθωσιν, καὶ φιλοτιμίᾳ πάντα ἡμῖν ἀποδώσει ὧν ἡμεῖς ἑαυτοὺς διὰ μοχθηρίαν ἀπεστερήσαμεν τρόπου, καὶ μενεῖ μὲν ὁ καθόλου σύνδεσμος διάλυσιν οὐδεμίαν ἐπιδεχόμενος τοῦ λοιποῦ, μενεῖ δὲ ἄρρηκτος καὶ τῇ κτίσει πρὸς ἑαυτὴν ἡ φιλία· ἐντεῦθεν καὶ πράττειν ἅπαντα ὑπὲρ ἡμῶν οὐκ ὤκνουν, καίτοιγε ἐν τοῖς χείροσιν ἐξεταζομένων, τῇ τῶν μελλόν-

**1.** Ἑβρ. 1,14. **2.** Λουκ. 15,7,10. **3.** Πρβλ. Γεν. 2,16.



των ἐλπίδι διὰ τὴν τοῦ Θεοῦ ἐπαγγελίαν κρατούμενοι. Τοῦτο οὖν λέγει ὅτι ἡ κτίσις τόγε ἐφ' ἡμῖν πολλάκις τὰ καθ' ἡμᾶς ἀπελπίσασα, ταύτην ἀπεκδέχεται τῶν ἁπάντων διόρθωσιν, τὴν προσδοκίαν τῶν μελλόντων, ὅτι ἀναστησόμεθα πάντες εἰς τὸ εἶναι ἀθάνατοι· τὴν γάρ «ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ»[1] λέγει τὴν ἀνάστασιν, καθόλου «υἱοθεσίαν» τὴν ἀθανασίαν καλῶν, ἐπειδὴ υἱῶν εἶναι νομίζει Θεοῦ τὸ ἀθανάτους εἶναι· ὅθεν καὶ ὁ Δα**[828]**βὶδ λέγει· «ἐγὼ εἶπα θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες, ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε»[2], ὡς ἂν οὐκ ἔχοντος λόγου τοῦ ἀποθνήσκειν τοὺς υἱοὺς τοῦ Θεοῦ χρηματίσαντας.

## Ρωμ. 8,20

**139** Ἀμέλει, φησίν, οὐδὲν ἔτι ποιεῖν ὑπὲρ ἡμῶν οἱ Ἄγγελοι ἀνεχόμενοι, διὰ τὴν ἐπαγγελίαν ταύτην εἵλαντο πάντα ποιεῖν, καίτοιγε περὶ τὰ μάταια ἡμῶν ἀσχολουμένων, τοῦτο κατὰ τὴν τοῦ Θεοῦ ἐπαγγελίαν ἀπεκδεχόμενοι τὸ πάντα ἀπαλλαγῆναι φθορᾶς καὶ μεταβολῶν καὶ τροπῆς[3], ἐπειδὰν καὶ ἡμεῖς ἀξιωθέντες τῆς Ἀναστάσεως ἀθάνατοι τῇ τοῦ Θεοῦ δυνάμει γενώμεθα.

## Ρωμ. 8,21

Ἀπαλλάττονται γάρ, φησί, τότε καὶ αὐτοὶ τοῦ ὑπηρετεῖσθαι φθοριμαίοις πράγμασιν, ἐπειδὰν ἡμεῖς ἀθάνατοι γενώμεθα καὶ τὰ πάντα ἀπαλλαγῇ τοῦ τρέπεσθαι[4], ἐπεὶ μηδὲ ἔστι τοῦ λοιποῦ τὸ συναναγκάζον αὐτοὺς πρὸς τὴν τούτων ὑπηρετεῖσθαι κίνησιν.

## Ρωμ. 8,22

Καλῶς οὐκ εἶπε στενάζει καὶ ὠδίνει, ἀλλά «συστενάζει καὶ συνωδίνει», ἐπειδὴ καὶ τό «πᾶσα ἡ κτίσις»[5] ἐνταῦθα προσέθηκεν, ἄνω «ἡ κτίσις» εἰρηκὼς μόνον. Βούλεται δὲ εἰπεῖν ὅτι συμφώνως ἐπιδείκνυται τοῦτο «πᾶσα ἡ κτίσις», ἵνα καὶ τὸ παρὰ πάσης τὸ

**1.** Ρωμ. 8,19. **2.** Ψαλ. 81,6-7. **3.** Πρβλ. Ρωμ. 8,20. **4.** Πρβλ. Ρωμ. 8,21. **5.** Ρωμ. 8,22.

αὐτὸ γίνεσθαι ὁμοίως παιδεύσῃ τούτους τὴν πρὸς ἅπαντας κοινωνίαν αἱρεῖσθαι τῇ τῶν λυπηρῶν καρτερίᾳ. Πῶς δὲ πᾶσαν ἔφη τοῦτο ὑπομένειν τὴν κτίσιν; Τὰς μὲν ἀοράτους ὡς εἰκὸς ἅτε δὴ λογικὰς καὶ τῶν γιγνομένων ἐχούσας τὴν αἴσθησιν, τὰς δὲ ὁρατὰς τῇ κοινωνίᾳ τοῦ πράγματος.

## Ρωμ. 8,24

Σωτηρίαν καλεῖ τὴν παντελῆ τῶν κακῶν ἀπαλλαγήν, ἥτις αὐτοῖς ἐπὶ τοῦ μέλλοντος αἰῶνος προσγίνεσθαι ἔμελλεν· ταῦτα τοίνυν, φησί, βεβαίως ἐλπίζειν[1] ὅτι πρόσεσται ἡμῖν ἐπὶ τοῦ παρόντος εἰλήφαμεν βίου.

## Ρωμ. 8,25

Εἰ μὲν γὰρ ἀπελαύομεν ἤδη τῶν προσδοκωμένων, φησίν, ὑπ' ὄψιν ἔκειτο πάντως τὴν ἡμετέραν, περὶ δὲ τῶν φαινομένων ἐλπίζειν οὐδαμῶς ἐδεόμεθα· ἐπειδὴ δὲ ἐλπίζομεν περὶ αὐτῶν ὡς οὐ φαινομένων, εἰκότως ἀνάγκη ἅπασαν τὴν ἔκβασιν αὐτῶν περιμένοντας ὑπομένειν[2] ἅπαν ὅτι ἂν καὶ παθεῖν ὑπὲρ ἐκείνων δέοι.

## Ρωμ. 8,26

**140** Σχηματισμός ἐστι κατὰ τὸ σύνηθες τῇ θείᾳ Γραφῇ τὸ εἰρημένον ὡς ἕτερον φαίνεσθαι τῷ προχείρῳ μᾶλλον ἢ ὃ βούλεται λέγειν· λέγει μὲν γὰρ ὅτι ἡμεῖς οὐδὲ προσδοκᾶν ἐκεῖνα κατά γε τὴν τῆς φύσεως ἀκολουθίαν δυνάμεθα, ἀλλ' ἡ τοῦ Πνεύματος χάρις ἧς τὴν ἀπαρχὴν ἐνταῦθα εἰλήφαμεν, ἀναμφιβόλως ἡμῖν ἐγγυᾶται τὴν μετουσίαν ἐκείνων. Ἐσχημάτισε δὲ οὕτως· ἃ προσδοκῶμεν ταῦτα καὶ αἰτοῦμεν παρὰ Θεοῦ, ἃ δὲ μὴ δυνατὸν ἐλπίσαι λαβεῖν, ταῦτα οὐδ' ἂν αἰτῆσαι ποτὲ ἀνασχοίμεθα. Τὸ οὖν μὴ δύνασθαι προσδοκᾶν ἐκεῖνα τὸ μὴ εἰδέναι «καθὸ δεῖ προσεύξασθαι»[3] περὶ αὐτῶν ἐκάλεσεν, ἐπειδή, ὡς ἔφην, **[829]** ταῦτα οὐδ' ἂν αἰτήσειέν τε ἃ μηδενὶ λόγῳ δύναται προσδοκᾶν. Τὸ δὲ τῇ τοῦ Πνεύματος

**1.** Πρβλ. Ρωμ. 8,24. **2.** Πρβλ. Ρωμ. 8,25. **3.** Ρωμ. 8,26.



δυνάμει πάντως αὐτοῖς αὐτὰ περιέσεσθαι ἐλπίζειν τό «Πνεῦμα ἐντυγχάνειν» ἔφη· ἐπειδὴ γὰρ εὐχῇ πολλάκις λαμβάνομεν ἐκεῖνα ἃ μηδαμῶς ἑαυτοῖς περιποιῆσαι δυνάμεθα, ἐνετίθη δὲ αὐτοῖς καὶ τὸ πιστεύειν περὶ τῶν μελλόντων ἡ ἐπὶ τοῦ παρόντος βίου τοῦ Πνεύματος δόσις. «Αὐτό», φησί, «τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν», ἵνα εἴπῃ ὅτι τοῦτο ἡμῖν ἐκείνων αἴτιον, ὃ ὥσπερ ἐν ἀῤῥαβῶνος τάξει κατὰ τὸν παρόντα βίον ἡμῖν δοθέν, ἀναγκαίως καὶ περὶ τοῦ τελείου πιστεύειν ποιεῖ· ὅθεν ἵνα μὴ νομίσῃς περὶ εὐχῆς λέγειν αὐτὸν ἀληθῶς, ἐπήγαγε «στεναγμοῖς ἀλαλήτοις»[1], ἵνα εἴπῃ ὅτι ἀποῤῥήτῳ τρόπῳ ἐκεῖνα ἐφέλκεται· τὸ γὰρ ἐπὶ ταῖς μελλούσαις ἐπαγγελίαις κατά γε τὸν παρόντα βίον δεδομένον ἡμῖν παρέχεται πάντως ἡμῖν ἐκεῖνα. Καὶ τό «στεναγμοῖς» δὲ ἀκολούθως τῷ σχηματισμῷ ὡς ἐπ' εὐχῆς ἔφη, ἐπειδή πως μετὰ στεναγμῶν εὐχόμενοι ἀκούεσθαι νομίζονται μᾶλλον ὡς ἂν συντονώτερον ποιούμενοι τὰς δεήσεις. Οὕτω καὶ ἀνωτέρω περὶ τῆς κτίσεως ἔφη τό «στενάζειν» καὶ περὶ ἡμῶν ὅτι «στενάζομεν», στεναγμὸν ἁπανταχοῦ τὴν προσδοκίαν ἐκείνων καλέσας, ὥσπερ οὖν **141** κἀνταῦθα ἔφη «τὸ Πνεῦμα μετὰ στεναγμῶν ἐντυγχάνειν», ὡς ἂν παρέχον ἡμῖν ἐκεῖνα καὶ προσδοκᾶν ἃ τῶν παρασκευαζόντων τὴν ἔκβασιν.

## Ρωμ. 8,27

Ἐνταῦθα βούλεται εἰπεῖν ὅτι ταῦτα ἡμῖν παρασχεθήσεται ὑπὸ τοῦ Πνεύματος γνώμῃ Θεοῦ, ὃς ἐπειδὴ ἠβουλήθη τήν «ἀπαρχὴν ἡμᾶς τοῦ Πνεύματος»[2] ἐπὶ τοῦ παρόντος κομίσασθαι βίου, ἀναγκαίως παρέξει κἀκεῖνα ὧν ἐπ' ἐλπίδι ταύτην ἐκομισάμεθα. Ἐπεὶ δὲ ἐσχημάτισεν ὡς ἐπ' εὐχῆς τὸ διὰ τῆς ἐνταῦθα «ἀπαρχῆς τοῦ Πνεύματος» ἀναγκαίως ἡμᾶς προσδοκᾶν καὶ τὰ μέλλοντα, ἀναγκαίως ἐπήγαγεν, ὅτι καὶ ὁ Θεὸς εἰδὼς τὸ βούλημα τοῦ Πνεύματος, καὶ ὅτι κατὰ γνώμην αὐτοῦ τὰς αἰτήσεις ποιεῖται, ἐπινύει τῇ προσευχῇ. Καλῶς δὲ καὶ τό «ὑπὲρ ἁγίων»[3], ἵνα εἴπῃ τῶν πρὸς τοῦτο ἀφωρισμένων καὶ μετεσχηκότων ἤδη τοῦ Πνεύματος.

**1.** Ρωμ. 8,26. **2.** Ρωμ. 8,23. **3.** Ρωμ. 8,27.

«Ἐντυγχάνειν δὲ τὸ Πνεῦμα» τὸ χάρισμα λέγει τὸ ἐπὶ τοῦ παρόντος ἡμῖν δεδομένον βίου, ὃ καί «ἀπαρχὴν τοῦ Πνεύματος», οὐ τῆς ὑποστάσεως αὐτοῦ καλεῖ ἀλλὰ τῆς τότε ἡμῖν εἰς παντελῆ μετουσίαν τῶν ἀγαθῶν προσδοκωμένης δοθήσεσθαι χάριτος. Ὅτι μέντοι σύνηθες τῇ θείᾳ Γραφῇ σχηματίζειν, τάδε ἀπὸ τῶν τῷ μακαρίῳ Δαβὶδ συνεχῶς τὰ τοιαῦτα λέγειν εἰωθότι· «γνόφον ἔχοντα ὑπὸ τοὺς πόδας»[1] καὶ ὅσα κατ' ἐκεῖνο τὸ μέρος φησίν· οὐδὲ γὰρ τοῦ παρόντος ἅπαντα λέγειν ἐστὶ καιροῦ. Ἐν δὲ τῷ εἰκοστῷ τρίτῳ πρός τε τὰς πύλας φωνὴν σχηματίζει, ὡς ἂν ἀνοιχθῆναι ὀφειλούσας, καὶ παρ' αὐτῶν ἀπόκρισιν[2]· τούτων γὰρ οὐδὲν μέν, ὡς εἴρηται, νοεῖσθαι δύναται, ἕτερα δέ τινά ἐστι τὰ ἀπ' αὐτῶν ἐμφαινόμενα. Ἐγὼ μέντοι τέθεικα καὶ τοῦτο ὥστε μηδένα καινόν τι νομίζειν λέγεσθαι παρ' ἡμῶν τὸ κατὰ σχηματισμὸν εἰρῆσθαι τῷ Ἀποστόλῳ τὰ προκείμενα.

## Ρωμ. 8,28

**[832]** Οὐ δεῖ θαυμάζειν, φησίν, εἰ τοιαῦτα μὲν τότε προσδοκῶμεν ἡμῖν ἀγαθὰ περιέσεσθαι, ἐν ἀνηκέστοις δὲ ἄγαν κακοῖς κατὰ τὸ παρὸν εὑρισκόμεθα, πάνυ γε εἰδότας ὡς διὰ πάντων εὐεργετεῖν ἔθος τῷ Θεῷ **142** τοὺς ἀγαπῶντας αὐτόν, ἄφθονον αὐτοῖς τῶν ἀγαθῶν τὴν χορηγίαν παρεχόμενος, ὥστε καὶ ἀπὸ τῶν δοκούντων εἶναι λυπηρῶν μείζονας αὐτοῖς τοὺς αἰωνίους προξενεῖσθαι μισθούς. Καλῶς δὲ τοῦτο «οἴδαμεν», ἐπειδὴ σφόδρα ὡμολογημένον ἔφη πρᾶγμα παντὸς οὑτινος οὖν πάνυ γε συνθησομένου, ὅτι τοῖς ἀγαπῶσιν αὐτὸν ἀγαθῶν πρόξενος γίνεται Θεός, ὅπου γε καὶ πλημμελούντων ἀνέχεται ἡλίου τε ἀνατολὴν καὶ ὑετῶν χορηγίαν αὐτοῖς χαριζόμενος[3]. Εἶτα καὶ ἀποδείξεων, ὅπερ ἔφη, πιστούμενος «τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν»[4]. Τούτων γὰρ ᾔδει καὶ πάλαι ὁ Θεὸς τὴν περὶ αὐτῶν πρόθεσιν, οἵα τις ἔσται, ὅθεν αὐτοὺς καὶ ἐκάλεσεν ἐπὶ τῷ τῆς οἰκείας ἀξίως τιμῆσαι προαιρέσεως.

**1.** Ψαλ. 17,18. **2.** Ψαλ. 23,24. **3.** Πρβλ. Ματθ. 5,45. **4.** Ρωμ. 8,28.



## Ρωμ. 8,37

Δεικνὺς ὅτι μηδὲ τὴν βαρύτητα δεδιέναι προσήκει τῶν ἐπαγομένων κακῶν, εἰκότως ἐπήγαγεν· «ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς»[1]· παρ' αὐτοῦ γὰρ ἡμῖν καὶ τὸ δοκοῦν εἶναι βαρὺ τῶν θλίψεων ἐπικουφίζεται, ἀνεπαίσθητον τῇ παρ' αὐτοῦ συνεργείᾳ τῶν λυπηρῶν ἐργαζομένου τὴν πεῖραν.

## Ρωμ. 8,38-39

Καλῶς τό «πέπεισμαι» εἶπεν, ὡς ἂν οὐκέτι τῇ οἰκείᾳ δυνάμει, τῇ δὲ τοῦ Χριστοῦ συνεργείᾳ τὸ πᾶν ἐπιτρέψας. Τὸ μὲν οὖν «οὔτε θάνατος οὔτε ζωή», ἀντὶ τοῦ οὔτε τὰ λυπηρὰ οὔτε τὰ ἄγαν ἡδέα· τὸ δέ «οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις»[2] δῆλον μὲν ὅτι τὰς ἀοράτους λέγει φύσεις, ἐβουλήθη δὲ καὶ ἀπὸ τῆς ἐκείνων ἀξιοπιστίας δεῖξαι, ὅτι πάντα ἐλάττονα εἶναι τῆς εὐσεβείας νενόμικεν. Τὸ μέντοι «οὔτε ὕψωμα οὔτε βάθος»[3], τοῦτ' ἔστιν οὔτε τὰ ἄγαν ἄδοξα οὔτε μὴν τὰ ἄγαν ἐπίδοξα, θαυμασιώτερον [δέ]· ἁπάντων γὰρ τῆς τῶν μελλόντων προσδοκίας ἕνεκεν ἅπαντα διαπραττομένων, ὥστε ἐκκλῖναι μὲν τὴν ἐπαγομένην τότε τοῖς ἀσεβέσι παρὰ τοῦ Θεοῦ τιμωρίαν, ἀπολαῦσαι δὲ τῶν ἡτοιμασμένων τοῖς ἀγαπῶσιν αὐτὸν ἀγαθῶν, αὐτὸς μηδὲ ὑπ' ἐκείνων λέγει τῆς εὐσεβείας ἐξίστασθαι, εἰκότως, ὡς ἂν οὐ μισθῷ μετιὼν τὴν εὐσέβειαν ἀλλ' ἀγάπῃ τῇ περὶ τὸν Χριστὸν τοσούτων αἴτιον γεγονότα τοῖς ἀνθρώποις καλῶν ἅπαντα καὶ ποιεῖν καὶ πάσχειν αἱρούμενος· τοιαύτη γὰρ ἡ τῆς ἀγάπης φύσις, οὐδαμοῦ τῶν καθ' ἑαυτὸν φροντίζειν τὸν ἀγαπῶντα ποιοῦσα, ἀλλὰ πάντα ποιεῖν καὶ ὑπομένειν παρασκευάζουσα ἀφ' ὧν ἂν ὠφελεῖσθαί τι νομίζῃ τὸν ἀγαπώμενον. Πάντα μὲν οὖν μεγάλα τὰ προειρημένα καὶ πρέποντα τῇ περὶ τὸν Χριστὸν ἀγάπῃ **143** τοῦ μακαρίου Παύλου, ὑπὲρ ἅπαντα δὲ τό «οὔτε τις κτίσις ἑτέρα»[4] τοῖς λοιποῖς ἐπηγμένον. Ἐπειδὴ γὰρ ἅπαντα ἐπεξῆλθεν τὰ ὅπως ποτὲ ὄντα τε καὶ φαινόμενα, προστεθεικὼς καὶ τὰς ἀοράτους δυνάμεις καὶ μὴν καὶ τὰ προσδοκώμενα

**1.** Ρωμ. 8,37. **2.** Ρωμ. 8,38. **3.** Ρωμ. 8,39. **4.** Ἐνθ. ἀν.

ἔσεσθαι, **[833]** τελευταῖον ἐπήγαγεν τό «οὔτε τις κτίσις ἑτέρα», δεικνὺς ὅτι οὕτως ἅπαντα ταῦτα εἶναι ἀντίρροπα τῆς περὶ τὸν Χριστὸν ἀγάπης νενόμικεν οὐδαμῶς, ὅτι κἂν εἰ ἕτερα σὺν τούτοις γένοιντο, τὸ μηδὲν εἶναι αὐτὰ πρὸς παράθεσιν ἡγεῖται τῆς ἀγάπης ἐκείνου.

## Ρωμ. 9,1-5

Ὅρκῳ πιστοῦται τὸν λόγον. Ἐπειδὴ γὰρ εἶπεν ὅτι οὐχ ἔστιν ὃ δύναται αὐτὸν χωρίσαι τῆς ἀγάπης τοῦ Χριστοῦ, ἐπάγει ὅτι μόνον τῆς συγγενείας αὐτοῦ ἡττᾶται· περὶ πάντων δὲ τῶν ἐξ Ἰσραὴλ φησιν[1]. Ἡδέως οὖν, φησί, καὶ σῶμα καὶ ψυχὴν δίδωμι, ἵνα ὧν ἐκπεπτώκασι ταῦτα πάλιν ἀνακαλέσωνται πιστεύσαντες εἰς Χριστόν· τί γὰρ τῶν καλῶν οὐκ Ἰουδαίων ἦν, ἐφ' οἷς νῦν τὰ ἔθνη σεμνύνεται; «Ἡ δόξα, ἡ Διαθήκη», καὶ τὸ δὴ μέγιστον, ἐξ αὐτῶν καί «ὁ Χριστὸς τὸ κατὰ σάρκα»[2] ὅς ἐστι Θεὸς οὐ μόνον αὐτῶν ἀλλὰ κοινῇ πάντων. Ἵνα οὖν ταῦτα ἀνακτήσωνται, ἡδέως ἐγὼ ὑπὲρ αὐτῶν «ἀνάθεμα» ἐγενόμην. Τὸ δέ «ἀνάθεμα» τὸν ἀλλότριον δηλοῖ, ἐπειδὴ τὸ ἀνατεθὲν τοῦ ἀνατιθέντος ἀλλότριον.

## Ρωμ. 9,9-13

Τί οὖν, φησίν, εἴποιτε ἂν περὶ τοῦ κατὰ τὸν Ἠσαῦ καὶ τὸν Ἰακώβ, ὅπου καὶ πατὴρ εἷς καὶ μήτηρ μία καὶ σύλληψις ἡ αὐτή; Τὸ γάρ «ἐξ ἑνὸς κοίτην ἔχουσα»[3] τοῦτο λέγει, τὸ τὴν αὐτὴν ἐκ τοῦ αὐτοῦ μὴ κατὰ διαφόρους τεκεῖν συλλήψεις. Καὶ οὕτω κατὰ πάντα καὶ προγόνων οἰκειότητι καὶ τοκετῷ συνημμένων αὐτῶν, ὅμως ὁ Θεὸς πρὶν γεννηθῆναι αὐτοὺς καί τι ποιῆσαι καλὸν ἢ κακόν, προλαβὼν οὐ μόνον διεῖλεν αὐτοὺς ἀλλὰ καὶ ἀνέτρεψεν, εἰ δεῖ τἀληθὲς σκοπεῖν, τῆς φύσεως τὴν ἀκολουθίαν «τὸν μείζονα δουλεύσειν»[4] ἀποφηνάμενος «τῷ ἐλάττονι»[5], εἰδὼς μὲν αὐτοὺς ὁποῖοί τινες ἔσονται, οὐκ ἀναμείνας δὲ ἀπὸ τῶν οἰκείων διαγνωσθῆναι τρόπων, ἀλλὰ πόρρωθεν αὐτοὺς διελών, ὥστε διὰ πάντων φανερὰν γενέσθαι τῆς ἐκλογῆς τὴν χάριν, ἣ καὶ φύσεως καὶ πάντων

**1.** Ρωμ. 9,3. **2.** Ρωμ. 9,5. **3.** Ρωμ. 9,10 **4.** Γεν. 25,23. **5.** Ρωμ. 9,12.



ἐστὶ προτιμοτέρα. Εὐκαιρότατα μὲν οὖν πρὸς τὰ παρόντα καὶ τό «μήπω γὰρ γεννηθέντων»[1]· Οὕτω γὰρ διαψεύσασθαι, φησίν, οὐχ οἷόν τε Θεόν, ἕτερα μὲν ὑπισχνούμενον, ἕτερα δὲ ποιοῦντα, ὅτι καὶ πρὸ τῆς γεννήσεως τὸν ἑκάστου τρόπον εἰδὼς ἐκλέγεται οὓς ἂν ἀξίους εἶναι νομίσῃ. Τίς ἂν οὖν γένοιτο ἐπὶ τοῦ τοιούτου διαμαρτία, **144** ὥστε τοῦτο κατὰ τὸν τῶν ἰδεῶν νομίζειν λόγον; Δεικνὺς δὲ ὅτι ἠκολούθησε τῇ κατὰ χάριν ἐκλογῇ καὶ τὰ πράγματα, ἐπάγει· «καθὼς γέγραπται· τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα»[2]. Διὰ πάντων μέντοι σαφῶς ἀπέφηνεν ὅτι μὴ φύσεως ἀκολουθίᾳ δουλεύειν οἶδε Θεός, χάριτι δὲ καὶ φιλοτιμίᾳ τούτους ἐκλέγεται οὓς ἂν ἀξίους **[836]** εἶναι τῆς ἐκλογῆς νομίσῃ, οἵτινες τῆς παρ' αὐτοῦ πρότερον ἀξιωθέντες χάριτος, τότε τὰ παρ' ἑαυτῶν συνεισφέρειν δύνανται, ἀνάλογον τῇ χάριτι τὴν οἰκείαν ἐπιδεικνύντες προαίρεσιν.

## Ρωμ. 9,14-21

«Τί οὖν ἐροῦμεν; φησί· μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο»[3]. Ἀλλ' ἐμοὶ μὲν εἴρηται ταῦτα, φησί, βουλομένῳ δεῖξαι τὸν Θεὸν οὐκ ἀκολουθίᾳ φύσεως ἑπόμενον, χάριτι δὲ καὶ φιλοτιμίᾳ ἐκλεγόμενον οὓς ἂν ἀξίους εἶναι τῆς ἐκλογῆς νομίζῃ τῆς ἑαυτοῦ. Οἰέσθω δὲ μηδεὶς ἄδικον εἶναι λέγειν ἡμᾶς τοῦ Θεοῦ τὴν ἐκλογὴν εἰκῇ καὶ ἄνευ κρίσεως τοὺς μὲν ὠφελεῖν τοὺς δὲ βλάπτειν ἐσπουδακότος· «μὴ γὰρ γένοιτο» τοῦτό ποτε παρ' ἡμῶν φανῆναι λεγόμενον. Εἶτα καὶ ἐξεργαστικώτερον τῶν ἐναντίων τιθείς· «τῷ γὰρ Μωυσεῖ λέγει· ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω»[4]· καὶ μετὰ τὴν μαρτυρίαν ἐπισυλλογίζεται ἐκ τοῦ ἐκείνων προσώπου· «ἄρα οὖν οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ»[5]· καὶ γραφικὴν ἑτέραν φωνὴν τεθεικώς· λέγει γὰρ ἡ Γραφὴ τῷ Φαραὼ ὅτι εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, «ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ»[6]. Συλλογίζεται πάλιν· «ἄρα οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει

**1.** Ρωμ. 9,11. **2.** Ρωμ. 9,13. Μαλ. 1,2-3. **3.** Ρωμ. 9,14. **4.** Ἐξ. 33,19. **5.** Ρωμ. 9,16. **6.** Ἐξ. 9,16.

σκληρύνει»[1]. Ταῦτα μὲν οὖν ἅπαντα ὡς ἀπὸ τοῦ ἑτέρων ἔφη προσώπου, τάς τε γραφικὰς μαρτυρίας οὕτως εἰπὼν ὡς ἂν ἐκείνων αὐτὰς εἰς σύστασιν τοῦ οἰκείου λόγου προβάλλεσθαι εἰωθότων, καὶ τοὺς συλλογισμοὺς ἀκολούθως ἀπὸ τοῦ ἐκείνων ἐπαγαγὼν προσώπου. Δύο δέ ἐστι τὰ ἐν τοῖς εἰρημένοις στρεφόμενα· εἰ Θεὸς ἀγαθούς τε εἶναι ποιεῖ καὶ κακοὺς τὴν γνώμην οὓς βούλεται, ἢ παρ' ἡμῖν ἡ τῆς αἱρέσεως ταύτης ἐξουσία; Καὶ πότερον αὐτὸς κολάζει τε οὓς θέλει καὶ πάλιν εὐεργετεῖ κατὰ τὸ δοκοῦν αὐτῷ, ἢ παρ' ἡμῖν τοῦ πειρᾶσθαι τούτων τε κἀκείνων ἐστὶν ἡ αἰτία; Ἔχεται δὲ τοῦ πρώτου τὸ δεύτερον. Ὁμολογουμένου μὲν γὰρ τοῦ παρ' ἡμῖν εἶναι τὴν ἐξουσίαν τῆς τε τῶν καλῶν καὶ τῶν χειρόνων αἱρέσεως, συναπηλέγχετο καὶ τὸ τὰ περὶ ἡμᾶς γινόμενα ἀπὸ τῆς ἡμετέρας συμβαίνειν αἰτίας. Τῆς δέ γε τοῦ ποιεῖν ἐξουσίας ἅπερ ἂν βουλώμεθα ἐν ἡμῖν οὐκ οὔσης, οὐδὲ τὰ περὶ ἡμᾶς γινόμενα ἑτέρως γινόμενα, ἐφαίνετο ἀλλ' ἢ κατὰ τὸ δοκοῦν τῷ ποιοῦντι Θεῷ. **145** Κάλλιστα δὴ καὶ ὁ μακάριος Παῦλος διαιρεῖ μὲν τὴν ἀπόκρισιν. Ὥσπερ δὲ ἐν τῷ πρώτῳ τοῦ παντὸς στρεφομένου, ἐκεῖνο πρότερον μετ' ἰσχυρᾶς τῆς ἀποδείξεως λύειν πειρᾶται, καὶ μετ' ἐκεῖνο ὡς ἂν ἀκόλουθον ἐπισυνάπτει τοῦ δευτέρου τὴν λύσιν. Ἐπάγει δὴ πάλιν μετὰ τὰ προτεθέντα ἀπὸ τοῦ ἐκείνων προσώπου ὅπερ ἀκόλουθον ἦν τοῖς εἰρημένοις· «ἐρεῖς οὖν μοι· τί ἔτι μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν;»[2]. Ἀντὶ τοῦ θαῤῥήσας δὲ ταῖς Γραφικαῖς μαρτυρίαις ὡς ἂν σύμφωνα οἷς λέγεις αὐτὸς διδασκούσαις ἡμᾶς, ἐρεῖς ὡς οὔτε μέμψεως οὔτε τιμωρίας ἄξιος εἶ τινος, γνώμῃ μὲν οἰκείᾳ πράττων οὐδέν, ἀνάγκῃ δὲ εἴκων τοῖς δοκοῦσιν αὐτῷ καὶ οὐδὲ αἱρεῖσθαι παρ' ἐκεῖνα δυνάμενος ἕτερα. Καὶ συντόμως τοῦ εἰρημένου τὴν ἀτοπίαν ἐλέγχων· «μεν**[837]**οῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινάμενος τῷ Θεῷ»[3], θαυμασιώτατα ἀπὸ τῆς ἐκείνων ἀποκρίσεως τοῦ λεγομένου δεικνὺς τὸ εὔηθες· οὐ γὰρ ἐπιτιμῶν, ὥς τινες ᾠήθησαν, τοῦτο ἐπήγαγεν, ἐπείπερ σφόδρα ἀλλότριον τοῦ μακαρίου Παύλου τὸ πρότασιν τῶν ἐναντίων τιθέντα ἐπιτίμησιν ἐπάγειν πρὸ τῆς τοῦ ζητουμένου λύσεως. Ἐχρῆν δὲ τοὺς τοῦτο οἰηθέντας καὶ πρὸς ἐκεῖνο ἰδεῖν, ὅτι ἐπὶ λύσεως τό

1. Ρωμ. 9,18. 2. Ρωμ. 9,19. 3. Ρωμ. 9,20.



«μενοῦνγε» ἔθος κεχρῆσθαι τῷ Ἀποστόλῳ ἀντὶ τοῦ καὶ μὴν τό «μενοῦνγε» λέγοντι. Καὶ τοῦτο μετ' οὐ πολύ τις εὑρήσει· προτείνας γὰρ ἑαυτῷ· «ἀλλά γε λέγω, μὴ οὐκ ἤκουσαν;»[1]. Ἐπάγει· «μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν»[2], σαφῶς ἐπὶ λύσει τοῦ προτεθέντος τὴν ἐπαγωγὴν ποιησάμενος. Οὕτω κἀνταῦθα λύων τὸ μὴ ἐν αὐτοῖς εἶναι ποιεῖν ἅπερ ἂν βούλωνται, ἐπήγαγεν· «μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινάμενος τῷ Θεῷ;». Λέγεις, φησίν, ὡς οὐκ ἄξιος εἶ μέμψεως· οὐδὲ γὰρ ἐν σοὶ τὸ ποιεῖν ἃ βούλει. Καὶ μὴν οὐχ ἑτέρωθεν τοῦ λεγομένου συνορῶ τὴν εὐήθειαν, ἀλλ' ἀπὸ τῆς σῆς ἀποκρίσεως· εἰπὲ γάρ μοι, ὦ ἄνθρωπε, ὅστις ποτ' ἂν εἴης ὁ τούτοις πρὸς Θεὸν κεχρημένος τοῖς ῥήμασιν· τίνα εἶναι βούλει σαυτὸν καλοῦ τε καὶ κακοῦ διάγνωσιν, ὡς φής, οὐδεμίαν ἔχειν δυνάμενον, οὐδὲ ἐκλέγειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος εἰδότα, ἀνάγκῃ δὲ ποιοῦντα τὸ δοκοῦν τῷ Θεῷ καὶ πρὸς τοῦτο ῥέποντα καὶ τούτῳ ἡδόμενον, εἴτε καλὸν εἶναι εἴτε κακὸν αὐτὸ συμβαίνοι; Καὶ πῶς οὐ τοῦτο ἐπὶ τῶν σαυτοῦ δεικνύεις ῥημάτων; Τοὐναντίον μὲν οὖν ἔοικας ἀφ' ὧν ἀντιφθέγγῃ τῷ Θεῷ ἀκριβῶς εἰδέναι τοῦ καλοῦ καὶ τοῦ χείρονος τὴν διάκρισιν, ὅπουγε καὶ λόγους περὶ ἑκατέρου τούτων ποιῇ, καὶ τὴν αἰτίαν τῶν γιγνομένων ἐπὶ Θεὸν ἀναφέρειν ἐσπούδακας, σαυτὸν ἀπολύων τῆς ἐπὶ τοῖς πεπραγμένοις αἰτιάσεως. Ἢ οὐχὶ ταῦτα καὶ εἰδότος ἐστὶ τοῦ τε καλοῦ καὶ τοῦ χείρονος τὴν φύσιν, καὶ ἐκλέγειν ἑκάτερον αὐτῶν ἀπὸ τοῦ ἑτέρου δυναμένου σαφῶς; Καιριώτατα μέντοι καὶ τὰς ῥήσεις ἀντέκρουσεν εἰς μείζονα ἔμφασιν τοῦ λεγομένου τῆς ἀτοπίας· εἰρηκὼς γὰρ ἐκ τοῦ τῶν ἐναντίων προσώπου· «τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν;»[3], **146** ἐπήγαγεν· «σὺ τίς εἶ ὁ ἀνταποκρινάμενος τῷ Θεῷ;»[4]. Σαφῶς ἐναντίον ὂν τῷ εἰρημένῳ· εἰ γὰρ ἀνταποκρίνεται, δῆλον ὅτι ἀνθέστηκεν, ὥστε τὸ μὴ ἀνθεστάναι ψεῦδος. Ἔστι τοίνυν τοιουτότροπός τις ὡς ἐν συντόμῳ τοῦ ζητουμένου ἡ λύσις· οὐδὲν πράττεις οἰκείᾳ τῇ γνώμῃ, ἅπαντα δὲ κατὰ τὸ δοκοῦν τῷ Θεῷ, ἐπειδὴ ἀνθεστάναι τοῖς αὐτῷ δοκοῦσιν οὐδενὶ φῂς εἶναι δυνατόν. Πῶς οὖν ἀνταποκρίνῃ; Δῆλον ὅτι καὶ ἀνθέστηκας. Οὐκ ἄρα τοῖς αὐτῷ δοκοῦσιν ἐπιμένων ἅπαντα

1. Ρωμ. 10,18. 2. Ἔνθ. ἀν. 3. Ρωμ. 9,19. 4. Ρωμ. 9,20.

πράττεις, ἀλλ᾽ οἰκείᾳ τῇ γνώμῃ, ὡς ἂν αὐτό σοι φαίνηται καλῶς ἔχειν αἱρούμενος. Εἶτα καὶ ἀπὸ τοῦ καθόλου· «μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· τί με ἐποιήσας οὕτως;»[1]. Οὐδὲ γὰρ οἷόν τε τὸ γεγονὸς ὑπὸ τοῦ ‹Δημιουργοῦ› τὸν Δημιουργὸν αἰτιᾶσθαι ἐπὶ τῇ κατασκευῇ τῆς οἰκείας φύσεως· χαίρει γὰρ **[840]** τῷ κατὰ φύσιν ἕκαστον, ὅπως ἂν ἔχῃ. Πῶς οὖν αἰτιάσεται ἐπὶ τούτῳ ὃ δὴ μάλιστα πάντων αὐτῷ καθ᾽ ἡδονὴν εἶναι συμβέβηκεν; Καὶ παραδείγματι τὸ εἰρημένον πιστούμενος· «ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος ὃ δὲ εἰς ἀτιμίαν;»[2]. Ἀπίδωμεν γάρ, εἰ δοκεῖ, πρὸς τὴν τῶν κεραμέων ἐργασίαν, ὅπως ἐκ τοῦ αὐτοῦ πηλοῦ μετὰ πολλῆς τῆς ἐξουσίας ἕκαστον τῶν σκευῶν πρὸς ὅτι ἂν βούλωνται ποιοῦσιν, καὶ οὐδὲν αὐτοῖς ἵσταται ἐμποδών, τὰ μὲν ἐπί τι χρήσιμον βουλομένοις ποιεῖν, τὰ δὲ ἐπὶ τὴν τῶν ἀτίμων χρῆσιν. Τίς ἀκήκοέν ποτε τῶν ἐπὶ τὰ ἀτιμότερα γεγονότων σκευῶν αἰτιασαμένων τῆς ἐργασίας τὸν κεραμέα, καὶ ὅτι μὴ μᾶλλον ἐπὶ τὸ κρεῖττον αὐτὰ κατεσκεύασεν; Οὐ γὰρ ἔχει φύσιν τὸ πρᾶγμα. Εἰ δὴ κατὰ τὸν αὐτὸν ἦσθα τρόπον, καὶ αὐτὸς ὑπὸ τοῦ Θεοῦ γεγονώς, ὥστε ἀλογίᾳ τε καὶ ἀγνωσίᾳ τοῦ προσήκοντος φυσικῇ τινι τῇ κατασκευῇ πρὸς τὸ χεῖρον ἐκδεδόσθαι κατὰ τὴν τῶν σκευῶν καὶ τοῦ κεραμέως ὁμοιότητα, οὔτ᾽ ἂν διάκρισις ἐνοῦσά τις ὀφθῇ σοι τοῦ τε καλοῦ καὶ τοῦ χείρονος, οὔτ᾽ ἂν ἐσπούδασας ἐνεγκεῖν ἐπὶ τὸν Θεὸν τοῦ γιγνομένου τὴν αἰτίαν σαυτὸν ἀπολύων τῆς μέμψεως, χαίρων δὲ διετέλεις τῷ κατὰ φύσιν πάντως. Νυνὶ δὲ καὶ οἶδας ἀκριβῶς τὸ δέον καὶ λόγους περὶ τούτου ποιῇ, καὶ ὅτι μέμψεως ἄξιον τὸ γιγνόμενον κἂν ἁμαρτάνῃς, οὕτως ἐπίστασαι ὥστε καὶ ἀπολύεις σαυτὸν τῶν ἐγκλημάτων καὶ μεταφέρεις ἐφ᾽ ἕτερον τὴν αἰτίαν τοῦ πταίσματος, διὰ πάντων σαφέστατον γνώρισμα τῆς ἐνούσης σοι τοῦ λογικοῦ δυνάμεως παρεχόμενος, καθ᾽ ἣν καὶ διακρίνειν ἐπίστασαι τὸ καλὸν ἀπὸ τοῦ χείρονος καὶ αἱρεῖσθαι μετὰ πολλῆς ὃ βούλει δύνῃ τῆς εὐμαρείας. Εἰ μὲν οὖν Θεός σοι πρὸς ὅπερ ἐβούλετο κατεσκεύασε τὴν φύσιν, χαίρειν ἦν σε ἀνάγκη καὶ τῷ κακῷ **147** γεγονότα πρὸς τοῦτο· εἰ δὲ λόγους ποιῇ περί τε καλοῦ καὶ κακοῦ διακρίσεως, τὴν τῶν ἀτόπων

1. Ρωμ. 9,20. 2. Ρωμ. 9,21.



ἐργασίαν σαφῶς αἰτιώμενος, εὔδηλος εἶ οὐ πρὸς τοῦτο γεγονὼς ὑπὸ τοῦ Θεοῦ, οἰκείᾳ δὲ γνώμῃ τὸ δοκοῦν αἱρούμενος. Οὕτω τοὺς περὶ τοῦ αὐτεξουσίου γυμνάσας λόγους λέγει καὶ περὶ τῶν εἴτε τιμωρίαις ὑποβαλλομένων, εἴτε καὶ ἐν κρείττοσιν ἐξεταζομένων κατὰ γνώμην Θεοῦ.

## Ρωμ. 9,22-24

Ὅτι μὴ κάλλους ἐπιμελεῖσθαι ἐσπούδακεν φράσεως καὶ ἐν τοῖς ἀνωτέροις εἰρήκαμεν, καὶ ὅτι πολλὰ μέν ἐστιν ἃ κατ᾽ ἔλλειψιν λέγει, μάλιστα μὲν τῇ ὑπερβολῇ τῆς συντομίας ᾗ κατά τι οἰκεῖον ἰδίωμα κεχρῆσθαι ἔθος αὐτῷ, ἀσάφειαν τοῖς ῥητοῖς ἐνεργάζεται. Τοιοῦτο δή τι καὶ ἐπὶ τῆς παρούσης ἔνεστι λέξεως εὑρεῖν τοῦ Ἀποστόλου, εἰ δὲ ἀντὶ ὁλοτελοῦς τεθεικότος διανοίας· δείξας γὰρ αὐτοὺς τῶν προσηκόντων τὴν διάγνωσιν ἔχοντας καὶ τὸ δοκοῦν δυναμένους αἱρεῖσθαι ἀντὶ τοῦ εἰπεῖν· εἰ δὲ τοῦτο πυνθάνει, τίνος ἕνεκεν ὀλίγοι μὲν τῶν κακῶν οἱ δίκας διδόντες τῶν λοιπῶν ἐν εὐθηνίαις ἐξεταζομένων, ὀλίγοι δὲ τῶν ἀγαθῶν εὐδόκιμοι κατὰ τόνδε γίνονται τὸν βίον, τὸ δὲ πλεῖστον αὐτῶν οὐδενὸς ἀπολαύει κατά γε τὸ παρὸν ἀγαθοῦ, τὸ εἰ δὲ τέθεικε μόνον ὡς ἂν ἐκ τῶν προειρημένων δήλου τοῖς ἐντυγχάνουσι τοῦ ζητήματος ὄντος, περιττόν τι νομίζων αὐτοῦ τὴν ἀνάληψιν. Εἶτα ἐπισυνάπτει τοῦ ζητήματος τὴν λύσιν· «θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργήν»[1] καὶ τὰ ἑξῆς. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· τὸν παρόντα βίον ἀγώνων οὐκ ἀνταποδόσεως εἶναι πεποίηκεν ὁ Θεός, συγχωρῶν καὶ τοὺς φαύλους καὶ τοὺς ἀγαθοὺς **[841]** τῶν ἀνθρώπων ἔν τε τοῖς καλοῖς καὶ τοῖς χείροσιν ἐξετάζεσθαι ὁμοίως, ὥστε βάσανον ἀκριβῆ τῆς ἁπάντων γενέσθαι προαιρέσεως, καὶ τοὺς μὲν ἀγαθοὺς φανῆναι διαθέσει τὴν ἀρετὴν μετιόντας, ὅταν ἐν ἑκατέραις τοῦ βίου ταῖς μεταβολαῖς τὰ ὅμοια ἐπιτηδεύοντες φαίνωνται, οὔτε ἐν εὐθηνίαις καυχώμενοι, οὔτε ἐν δυσπραγίαις δυσανασχετεῖν ἀναγκαζόμενοι, τοὺς δέ γε κακοὺς διὰ πάντων ἐραστὰς ἐλέγχεσθαι τῶν χειρόνων, ἔν τε τῇ ἀπολαύσει τῶν ἀγαθῶν ἀγνωμόνως περὶ τὸν αἴτιον διατιθεμέ-

1. Ρωμ. 9,22.

νους καὶ ἐν τῇ πείρᾳ τῶν λυπηρῶν ἐπιτείνοντας τοῦ τρόπου τὴν μοχθηρίαν. Ἀποδίδωσι δὲ ἑκάστῳ τὸ κατ' ἀξίαν ἐπὶ τοῦ μέλλοντος αἰῶνος. Ὥστε τοίνυν μὴ ἀπιστεῖσθαι τούτων τὴν ἔκβασιν, αἰνίγματα αὐτῶν ἐπὶ τοῦ παρόντος βίου διὰ τὴν ἁπάντων παρέχεται διόρθωσιν· καὶ τιμωρεῖται μὲν ἐνίους τῶν φαύλων εἰς σωφρονισμὸν τῶν ἐπιτηδεύειν τὰ ἄτοπα βουλομένων, εὐδοκίμους δὲ ἐνίους ἐργάζεται τῶν καλῶν εἰς προτροπὴν τῶν τὸν ἐνάρετον βίον μετιέναι ἐσπουδακότων. «Θέλων οὖν», φησίν, «ὁ Θεὸς ἐνδεῖξαι τὴν ὀργὴν καὶ τὸ δυνατόν», ἵνα εἴπῃ· ὅπως ἅπαντας τιμωρῆται τοὺς τὰ ἄτοπα διαπραττομένους, ἀνέχεται πολλάκις κακῶν, συγχωρῶν αὐτοὺς καὶ αὔξειν καὶ ἐπιδιδόναι κατὰ τόνδε τὸν βίον, ὥσπερ οὖν **148** πεποίηκεν καὶ ἐπὶ τοῦ Φαραώ· εἶτα καταφανεῖς ἐπὶ τῇ ἑαυτῶν κακίᾳ παρὰ πᾶσι γεγονότας τιμωρεῖται δικαίως, σαφέστερον γνώρισμα παρεχόμενος ἅπασι τοῦ μὴ ἀτιμώρητα πταίειν τοὺς ἁμαρτάνοντας. Ταὐτὸ δὴ τοῦτο καὶ ἐπὶ τῶν ἀγαθῶν διαπράττεται πάλιν καὶ ἐξ ἀδόξων αὐτοὺς παρὰ πᾶσαν ἐλπίδα περιφανεῖς ἐργασάμενος. Τοῦτο δὲ ἐπί τε τοῦ Μωυσέως καὶ ἑτέρων πολλῶν κατὰ διαφόρους πεποίηκε τοὺς καιρούς, τῆς ἐσομένης ἐπὶ τοῦ μέλλοντος αἰῶνος τοῖς ἐναρέτοις δόξης παρέχεται τὴν ἀπόδειξιν. Συμπεράνας τὴν πρὸς τὰ ζητήματα ἀπόκρισιν ἐν τούτοις ἀναλαμβάνει τοῦ λόγου τὴν ἀκολουθίαν. Προὔκειτο μὲν γὰρ αὐτῷ δεῖξαι ὅτι Θεὸς οὐ πρὸς φύσιν βλέπει, χάριτι δὲ οἰκείᾳ τοὺς ἀξίους ἐκλέγεται ἀποδοκιμάζων τοὺς ἀτόπους τῶν ἀνθρώπων. Ἐπειδὴ δὲ ζητήματα ἀπὸ τῶν ῥηθέντων ἀνέκυψεν, λύσιν αὐτῶν ποιησάμενος τὴν προσήκουσαν, ἐπὶ τὸ προκείμενον ἀνατρέχει καί φησιν· «οὓς καὶ ἐκάλεσεν ἡμᾶς οὐ μόνον ἐξ Ἰουδαίων ἀλλὰ καὶ ἐξ ἐθνῶν»[1], τοῦτο λέγων ὅτι τὴν οἰκείαν καὶ νῦν χρηστότητα συνήθως ἐπιδεικνύμενος ὁ Θεὸς ἐξελέξατο ἡμᾶς χάριτι τοὺς μὲν ἀπὸ Ἰουδαίων τοὺς δὲ ἀπὸ ἐθνῶν, ἑκατέρωθεν οὓς ἀξίους ἡγήσατο τούτους ἐπὶ τὴν εὐσέβειαν καλέσας, οὐ πρὸς φύσιν ἀποβλέψας οὐδὲ ταύτῃ διακρίνας ἡμᾶς ἀπὸ τῶν ἑτέρων, δοκιμασίᾳ δὲ τρόπου τοὺς μὲν ἀποβάλλων, τοὺς δὲ εἰσδεξάμενος.

**1.** Ρωμ. 9,24.



## Ρωμ. 9,25-26

Οὐχ ὡς περὶ τῶν ἐθνῶν εἰρημένῃ προφητικῶς, οἵτινες ἐσώθησαν, ὁ Ἀπόστολος ἐπὶ τοῦ παρόντος ἐχρήσατο τῇ μαρτυρίᾳ τοῦ Ὠσηέ —εἴρηται γὰρ περὶ Ἰουδαίων σαφῶς[1]— ἀλλ' ὡς δυναμένῃ δεικνύναι ὅτι φύσιν οὐκ αἰδεῖται Θεός, δοκιμασίαν δὲ τρόπου ποιεῖσθαι εἴωθεν, ὅπουγε καὶ Ἰουδαίους ἀπεποιήσατό τε μοχθηροὺς ὄντας τὴν γνώμην, οὐχ ἑλόμενος τιμῆσαι διὰ τὴν φύσιν, καὶ οἰκειώσατο πάλιν αὐτοὺς μεταβαλομένους τὸν τρόπον· τοῦτο γὰρ ἐπὶ τῆς παρούσης δείκνυται μαρτυρίας, ὅθεν καὶ δι' ἑτέρας τὸ αὐτὸ πιστούμενος ἐπάγει· Ἡσαΐας δὲ κράζει καὶ τὰ ἑξῆς.

## Ρωμ. 9,27-29

Καὶ δι' ἑτέρας μαρτυρίας τὸ αὐτὸ **[844]** πιστοῦται· λέγει γὰρ ὁ Προφήτης ὅτι κἂν «κατὰ τὴν ἄμμον τῆς θαλάσσης ὦσιν οἱ Ἰσραηλῖται τῷ πλήθει, ὀλίγοι σωθήσονται»[2] ἀπ' αὐτῶν οἱ τοῦ τυχεῖν ἄξιοι **149** τῶν κρειττόνων, καὶ τὴν γεγενημένην πρὸς τοὺς πατέρας ἐπαγγελίαν περὶ τῶν καταγόντων ἐκεῖθεν τὸ γένος συντεμὼν εἰς ὀλίγους, ἐν αὐτοῖς πληρώσει μετὰ τοῦ δικαίου τῶν ὑποσχέσεων τὴν ἀλήθειαν.

## Ρωμ. 9,30-31

Λέγει λοιπὸν τὴν αἰτίαν ἀφ' ἧς Ἰουδαίων μὲν οἱ πλεῖστοι τῆς οἰκειότητος ἔξω τοῦ Θεοῦ γεγόνασιν, Ἑλλήνων δὲ οὐκ εὐαριθμήτοις παρὰ πᾶσαν ἐλπίδα ταύτης τυχεῖν ἐνεγένετο· καὶ γὰρ ἦν ἀκόλουθον τὸν εἰρηκότα τῶν μὲν τὴν ἀποβολήν, τῶν δὲ τὴν οἰκείωσιν προσθεῖναι τὴν ἑκατέρου τούτων αἰτίαν. Διό φησιν· «τί οὖν ἐροῦμεν, ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην»[3] καὶ τὰ ἑξῆς. Τί τοίνυν εἴποιμεν ἄν, φησίν, ὅτι Ἑλλήνων μὲν οὐκ ὀλίγοι τῆς δικαιώσεως ἔτυχον, προσεληλυθότες τῇ περὶ Χριστοῦ διδασκαλίᾳ, καίτοιγε οὐδέποτε εὐσεβείας ἐπιμεληθέντες; Πῶς γὰρ οἵ γε τοῖς εἰδώλοις προσεῖχον; Ἰουδαίων δὲ ἔξω ταύτης ἐγένοντο οἱ πλεῖ-

**1.** Ρωμ. 9,25. **2.** Ὠσ. 10,22. **3.** Ρωμ. 9,30.

στοι ἄνδρες ἀεὶ τῷ νόμῳ προσέχειν ἐπ' ἐλπίδι τῆς δικαιώσεως ὑπισχνούμενοι. Τὸ μὲν γάρ «διώκων νόμον δικαιοσύνης»[1] περὶ τοῦ Μωυσαϊκοῦ λέγει, βουλόμενος εἰπεῖν ὅτι μετῇεσαν νόμον δικαιοσύνην ὑπισχνούμενον, εἴ τις αὐτὸν φυλάττοι· τὸ δέ «εἰς νόμον δικαιοσύνης» κατὰ τὸ οἰκεῖον ἰδίωμα, «νόμον δικαιοσύνης» τὴν δικαιοσύνην καλῶν ὡς καί «νόμον πίστεως»[2] τὴν πίστιν. Τινὲς δὲ οὕτω διελόντες ἀνέγνωσαν «τί οὖν ἐροῦμεν» κατ' ἐρώτησιν, εἶτα κατ' ἀπόκρισιν «ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην» καὶ τὰ ἑξῆς, σφόδρα ἀποσφαλέντες τοῦ προσήκοντος καὶ συνιδεῖν τὴν ἀποστολικὴν οὐ δυνηθέντες διάνοιαν· συναπτέον γὰρ ἐπὶ τῆς ἀναγνώσεως κατὰ τὴν προκειμένην ἡμῖν ἑρμηνείαν· «τί οὖν ἐροῦμεν, ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην» καὶ τὰ ἑξῆς, τοῦτο τοῦ Ἀποστόλου λέγοντος, ὅτι τί εἴποιμεν ἂν περὶ τούτου καινοῦ τε ὄντος ἄγαν καὶ παρὰ πᾶσαν συμβεβηκότος ἐλπίδα, τοῦ τυχεῖν μὲν τοὺς οὐδένα λόγον ποιουμένους τοῦ πράγματος, μὴ τυχεῖν δὲ τοὺς τὴν πᾶσαν σπουδὴν περὶ τοῦτο ἔχοντας.

## Ρωμ. 9,32-33

Δικαιωθῆναι ἀπὸ τῶν ἔργων τοῦ νόμου τῶν ἀδυνάτων· δεῖ γὰρ μηδέποτε ἁμαρτεῖν — ἔστι δὲ ἄγαν ἀμήχανον ἐπ' ἀνθρώπων κρινόμενον — ἡμαρτηκότα δὲ ἀνάγκη ὑπὸ τὴν ἀπόφασιν γενέσθαι τοῦ νόμου. Τοσοῦτον ἀποδεῖ τοῦ δικαιώσεως τῆς ἀπὸ τοῦ νόμου τυχεῖν ὁ διὰ τῆς κατ' αὐτὸν πολιτείας ἀπολαῦσαι ταύτης ἐλπίζων, χάριτι δὲ ταύτην δεδώρηται **150** ὁ Θεὸς τοῖς ἀνθρώποις, πᾶσαν ἡμῶν τὴν περὶ τοῦ ἁμαρτάνειν ῥοπὴν ἀφελεῖν ὑποσχόμενος, ἐπειδ' ἂν ἀναστήσας ἀθανάτους ἐργάσηται· τούτων δὲ ἔνεστι τὰς ἐπαγγελίας λαβεῖν διὰ τῆς ἐπὶ τὸν Χριστὸν [κομίσασθαι] πίστεως. Οὗτοι τοίνυν τῆς μὲν κατὰ χάριν ἐλπιζομένης ἡμῖν διὰ πίστεως προσέσεσθαι δικαιώσεως οὐδένα ποιησάμενοι λόγον, ἀπὸ δὲ τῶν ἔργων τοῦ νόμου δικαιωθῆναι ἐλπίσαντες, ὅπερ ἀδύνατον, **[845]** ἐκείνης τε οὐκ ἔτυχον καὶ ταύτην οὐδαμῶς περιποιῆσαι ἑαυτοῖς δεδύνηνται· «προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος»[1], ὅπερ θαυμασιώτατα ἐπήγαγεν, ὥστε δεῖξαι ὅτι οὐ τὰ πρότερα αὐτῶν, ἀλλὰ τὰ νῦν αἰτιᾶται. Ἔτρεχον οὖν, φησί, πρὸ τούτου τῆς κατὰ νόμον δικαιοσύνης τὸν δρόμον, καὶ ἦν αὐτοῖς οὐδαμῶς μέμψιν τινὰ ἐπαγαγεῖν ὑπὲρ τῶν προτέρων, ἀλλ' ὥσπερ λίθῳ τινὶ τῷ Κυρίῳ διὰ τῆς ἀπιστίας προσκρούσαντες καὶ βαρὺ τὸ κατάπτωμα ὑπομείναντες, μάταιον ἅπαντα τὸν ἐν τοῖς προειληφόσιν ἀπέφηναν δρόμον. Καὶ μαρτυρίαν ἐπάγει οὐ τοῖς εἰρημένοις μόνον κατάλληλον, ἀλλὰ καὶ πρὸς ἅπαν ὁμοῦ τὸ νόημα συμβαλλομένην· «καθὼς γέγραπται· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου, καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται»[2]· κατάλληλον μὲν γὰρ τό «προσέκοψαν τῷ λίθῳ τοῦ προσκόμματος» τῷ «ἰδοὺ τίθημι λίθον προσκόμματος», πρὸς ἅπαν δὲ αὐτῷ συνεβάλλετο ὡς ἔφην τὸ νόημα, τό «πᾶς ὁ πιστεύων οὐ καταισχυνθήσεται», βουλομένῳ δεῖξαι μέγα τι τὴν πίστιν καὶ ἱκανὸν τοὺς μὲν οἰκείους τοὺς δὲ ἀλλοτρίους ἐργάσασθαι, εἴπερ δὴ καὶ παρὰ τοῖς Προφήταις εἴρηται τὸ τὴν πίστιν ἱκανὴν εἶναι πάντα ὅντινα οὖν τῶν παρὰ Θεοῦ πληρῶσαι καλῶν. Καὶ ἐπειδήπερ οὐ τὴν ἀποβολὴν ἔφη τῶν Ἰουδαίων μόνον ἀλλὰ καὶ τῆς ἀποβολῆς τὴν αἰτίαν, πιστοῦται πάλιν τὸ μηδὲν ἀπεχθείᾳ λέγειν τῇ πρὸς αὐτούς, καί φησι τὸ ἑξῆς.

## Ρωμ. 10,1-4

Θαυμάσαι ἄξιον ὅσης πικρίας νόημα γέμον συνετώτατα τῇ εἰρωνείᾳ κατεκάλυψεν, τῇ τοῦ «μαρτυρῶ»[3] προσθήκῃ τὸ βαρὺ χολάσας τοῦ ῥήματος· δοκεῖ μὲν γὰρ αὐτοῖς κατὰ τὸ πρόχειρον καί τι καὶ μαρτυρεῖν ἀγαθόν, φαίνεται δὲ προσποίησιν μὲν εἶναι λέγων τοῦ Θεοῦ τὸν ζῆλον, ἀγνωσίαν δὲ αὐτοῖς ὀνειδίζων τοῦ προσήκοντος. Δῆλον δὲ ὅτι οὐχ ἀκούσιον αὐτοῖς ἀγνωσίαν ἐπιμέμφεται, ἐπείπερ οὐδὲ ἐγκλημάτων ἄξιον τὸ τοιοῦτον· Ἰουδαῖοι γάρ — ἐξὸν αὐτοῖς μετὰ τῶν λοιπῶν ἐπιγνῶναι τὸ δέον — ἑκουσίᾳ τῇ γνώμῃ τὴν μάθησιν αὐτοῦ παρελίμπανον. Τοῦτο γοῦν φησιν, ὅτι τὴν μὲν παρὰ τοῦ Θεοῦ ἐπαγγελθεῖσαν ἡμῖν δικαίωσιν παρεῖδον,

**1.** Ρωμ. 9,31. **2.** Ρωμ. 3,27.



**1.** Ρωμ. 9,32. **2.** Ρωμ. 9,33. Ὠσ. 8,14. 28,16. **3.** Ρωμ. 10,2.

οἰηθέντες δὲ ἀπὸ τῶν οἰκείων ἔργων ἀκολούθως τῷ νόμῳ **151** πολιτευόμενοι τοῦτο ἑαυτοῖς περιποιῆσαι δύνασθαι, οὐδεμίαν ἔθεντο σπουδὴν τοῦ πιστεῦσαι Χριστῷ καὶ τὴν ἐκεῖθεν ἡμῖν κατὰ χάριν ἐπαγγελθεῖσαν δικαίωσιν δέξασθαι.

Τί γὰρ δὴ καί φασιν, ὅτι νόμῳ πολιτεύεσθαι ἐσπουδάκασιν, ἵνα ἡ δικαίωσις αὐτοῖς προσγένηται; Ἀλλ' αὐτὸ τοῦτο μετὰ πάσης εὐμαρείας διὰ τῆς ἐπὶ τὸν Χριστὸν πίστεως κομίσασθαι ἔξεστιν, καὶ ὅπερ αὐτοῖς παρασχεῖν μὲν ὁ νόμος ἐσπούδακεν, οὐκ ἰσχύει δὲ διὰ τὸ ἡμῶν ἀσθενές, καὶ ὅτι μὴ ῥᾴδιον ἡμῖν ἅπαντα κατορθοῦν ὡς βούλεται, τοῦτο ἡμῖν ὁ Χριστὸς πεπιστευκόσιν ἐπ' αὐτὸν ὑπισχνεῖ παρέξειν οἰκείᾳ τῇ χάριτι πόνων ἐκτός, ὥστε ὁ νόμου πληροῦται σκοπὸς ἐν ἡμῖν.

## Ρωμ. 10,14-15

Τοῦ νόμου καὶ τῆς κατ' αὐτὸν ἀγωγῆς τὸ χρήσιμον ἐν τούτοις βούλεται συστῆναι **[848]** τοῖς ῥητοῖς ὁ Ἀπόστολος, καὶ ἐπειδὴ τὰ ἀνωτέρω αὐτῷ προκείμενα συνεπλήρωσεν εἰς τό «πᾶς γὰρ ὃς ἐὰν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται»[1], ἐντεῦθεν τοῦ ἑξῆς λόγου τὴν ἀρχὴν ἐποιήσατο τό «πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν;»[2] εἰρηκώς. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· πρόδηλον ἡμῖν, φησίν, ἐκ τῶν θείων Γραφῶν, ὅτι παντὶ τῷ ἐπικαλουμένῳ ἡ σωτηρία προσγίνεται, ὡς μηδὲ τοὺς ἀπ' ἐθνῶν κωλύεσθαι τοῦ τυχεῖν, εἰ δὴ βούλοιντο, ἀλλὰ πῶς ἂν αὐτὸν ἐπικαλέσοιντο, ζητεῖν ἄξιον[3]. Πιστεῦσαι προσήκει πρότερον· οὐ γὰρ οἷόν τε ἐπικαλεῖσθαι μὴ πιστεύοντα πρῶτον. Ἡ δὲ πίστις, πόθεν ἂν ἐγγένοιτο; Ἐπ' ἀκοῆς καὶ μαθήσεως. Ἀλλὰ μὴ ὄντος τοῦ διδάξοντος, μαθεῖν οὐχ οἷόν τε, καὶ τοὺς διδάξοντας δὲ οὐχ ἑτέρως φανῆναι δυνατόν, ἀλλ' ἢ τῆς θείας Χάριτος αὐτοὺς προβαλούσης, ἧς δὴ μόνης ἐστὶν εἰδέναι ὅπως ἐκλέγειν προσήκει τοὺς τοιούτους. Οὐκοῦν πρὸ πάντων χρεία τούτων οἳ πρὸς διδαχὴν ἐκλεγέντες ἀποσταλήσονται τῆς οἰκουμένης κήρυκες, δι' ὧν δυνατὸν καὶ μαθεῖν τὴν εὐσέβειαν καὶ

**1.** Ρωμ. 10,13. Ἰωὴλ 3,5. **2.** Ρωμ. 10,14. **3.** Πρβλ. Ρωμ. 10,13. Ἀγγ. 2,21.



πιστεῦσαι μαθόντας καὶ πιστεύσαντας ἐπικαλεῖσθαι λοιπὸν ἐλπίδι τοῦ τὴν ἐκ τῆς ἐπικλήσεως σωτηρίαν λαβεῖν. Ἀλλὰ τούτους οὐχ ἑτέρωθεν ἐξελέξατο ἡ χάρις ἐπιτηδείους εἶναι νομίσασα, ἀλλ' ἢ ἀπὸ τῶν ὑπὸ τὸν νόμον καὶ τὴν τούτου γεγονότων παιδαγωγίαν, οἳ μακρῷ τῷ χρόνῳ ταῖς τῶν Προφητῶν προαγορεύσεσιν τὸ περιμένειν τοῦ Χριστοῦ τὴν παρουσίαν ἐπὶ πολλῶν ἀγαθῶν αἰτίᾳ βεβαίως εἰλήφεσαν[1], ὡς μηδὲ τὸν τόπον ἄδηλον εἶναι αὐτοῖς ὅθεν φανήσεσθαι ἔμελλεν, ὥστε τῆς ἐν νόμῳ παιδαγωγίας ἤρτηται ἡ διὰ Χριστοῦ τῶν ἀνθρώπων σωτηρία, τῷ τε ἐκεῖθεν φανῆναι παρ' οἷς καὶ ἠλπίζετο, καὶ τῷ τοὺς πρώτους πεπιστευκότας ἐκεῖθεν γενέσθαι οἳ τῆς ἄνωθεν ἀξιωθέντες χάριτος ἱκανοὶ πρὸς τὴν ἁπάντων διδασκαλίαν εἶναι ἐκρίθησαν. Οὐκοῦν εἰ ὁ **152** Χριστὸς ἐκεῖθεν, φησί, καὶ οἱ ἁπάντων διδάσκαλοι οἱ Ἀπόστολοι, μεγάλη τις ἡ κατὰ νόμον οἰκονομία τοῦ Θεοῦ, πάντων ἐμπεριειλημμένην αὐτῷ τὴν σωτηρίαν ἔχουσα· οὕτω γὰρ ὑπῆρξεν τοῖς ἀνθρώποις μαθεῖν τε ἃ προσήκει, καὶ μαθοῦσι πιστεῦσαι, πιστεύσασί τε ἐπικαλέσασθαι, ἐπικαλεσαμένοις δὲ τὴν ἐκ τῆς ἐπικλήσεως σωτηρίαν λαβεῖν. Καὶ ἐπειδὴ πάντα τῆς τῶν Ἀποστόλων ἀπήρτησεν διδαχῆς ὥστε δεῖξαι τοῦ νόμου τὸ χρήσιμον, εἴγε τοὺς ἁπάντων ἀνέδειξε διδασκάλους Ἀποστόλους, ἐπάγει· «καθὼς γέγραπται· ὡς ὡραῖοι οἱ πόδες»[2] καὶ τὰ ἑξῆς. Εἴρηται δὲ ταῦτα οὐ περὶ τῶν Ἀποστόλων τῷ Προφήτῃ, ἀλλὰ περὶ τῶν μελλόντων μηνύειν τὰ περὶ Ἰουδαίους ἐσόμενα ἀγαθά. Εἰ δὲ οἱ μηνυταὶ ἐκείνων, φησίν, οὕτω νομίζονται θαύματος ἄξιοι, ἤπου γε ἀναγκαῖόν τι πρᾶγμα καὶ λυσιτελέστατον ἅπασι δεῖ νομίζειν τῶν Ἀποστόλων τὴν διδαχήν.

## Ρωμ. 10,16-17

Τό «ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ Εὐαγγελίῳ»[3] κατ' ἐρώτησιν ἀναγνωστέον, ἀντιθέσεως μέρει παρὰ τοῦ Ἀποστόλου τεθέν, ἀντὶ τοῦ ἀλλ' ἐρεῖς ὅτι μὴ πάντες ἐπίστευσαν. Θαυμαστὸν οὐδέν· πόῤῥωθεν γὰρ εἴρηται τῷ Ἡσαΐᾳ τῶν πειθομένων τὸ σπάνιον. Οὕτω γοῦν ἐν ἀπόρῳ τίθεται τὸ πρᾶγμα ὡς λέγειν· τίς ἄρα ἔσται

**1.** Πρβλ. Γαλ. 3,24. **2.** Ἡσ. 52,7. Ρωμ. 10,15. **3.** Ρωμ. 10,16.

ὁ δεξόμενος ταῦτα ἅπερ **[849]** οὖν ἡμεῖς ὑπὸ τῆς θείας Χάριτος μεμαθηκότες κηρύττομεν[1]; Οὐκοῦν οὐδὲ νῦν γένηταί τι καινόν. Καὶ λύσας τῇ μαρτυρίᾳ τὴν ἀντίθεσιν ἀπ' αὐτῆς ἐπισυλλογίζεται τὰ πρὸ τῆς ἀντιθέσεως, τό «πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν»[2] καὶ τὰ ἑξῆς, καί φησιν· «ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ»[3]. Πρόδηλον δὲ ἡμῖν, φησίν, ἀπὸ τῆς τοῦ Προφήτου φωνῆς κἀκεῖνο ὅπερ ἐλέγομεν, ὅτι πίστις μαθήσεως ἐκτὸς οὐκ ἄν ποτε γένοιτο, καὶ μάθησις εὐσεβείας οὐκ ἂν συνέστη μὴ Θεοῦ τἀληθὲς δεικνύντος· ὅπερ οὖν καὶ νῦν διὰ τῶν ὑπὸ τῷ νόμῳ παιδαγωγουμένων ἐγένετο[4], οὓς ἐν μακρῷ τῷ χρόνῳ διὰ τῶν Προφητῶν ἀναμένειν ταῦτα παιδεύσας Θεός, ἐν καιρῷ τῷ προσήκοντι διδασκάλους τῆς ἀληθείας ἅπασιν ἀνθρώποις ἀνέδειξεν.

**153** Τό «μενοῦνγε, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν»[5] πρόδηλον ὅτι μὴ ὡς προφητικῶς περὶ αὐτῶν εἰρημένον τέθεικεν, ἀλλ' ὡς ἁρμόττειν τοῖς παροῦσι δυνάμενον πράγμασιν. Κἀκεῖνο δὲ ἰστέον ἐντεῦθεν ὅτι τό «μενοῦνγε» ἐπὶ λύσει κέχρηται, ὡς μὴ εἶναι ἄδηλον ὅτι καὶ ὅταν λέγῃ· «μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ»[6], λύων τὸ ζητούμενον, οὐκ ἐπιτιμῶν, ὥς τινες οἴονται, λέγει.

## Ρωμ. 10,19

Πάλιν ἑτέραν ἀντίθεσιν ἐπάγει· «ἀλλὰ λέγω, μὴ Ἰσραὴλ οὐκ ἔγνω;»[7]. Ἀντὶ τοῦ ἀλλὰ μὴ τοῦτο ἐρεῖς ὅτι καινὸν αὐτοῖς τὸ πρᾶγμα νενόμισται, τὸ τοὺς ἐξ ἐθνῶν προσειλῆφθαι εἰς τὴν εὐσέβειαν, καὶ διὰ τοῦτο ὡς ἐπὶ καινῷ ταραττόμενοι πρὸς τὸ δόγμα διαμάχονται τὸ ἡμέτερον. Καὶ μὴν εὐθὺς Μωυσῆς ὁ τὸν νόμον αὐτοῖς δεδωκὼς φαίνεται πόῤῥωθεν ἐκ τοῦ Θεοῦ διαμαρτυρόμενος, ὅτι δὴ τούτων πρὸς τὸ χεῖρον νευσάντων καὶ αὐτὸς ἐκλέξεται τὰ ἔθνη πρὸ τούτων[8], κἀκείνους τῆς οἰκείας ἀξιώσει προνοίας, ὥστε αἴσθησιν αὐτοὺς ἀπὸ τῶν πραγμάτων λαβεῖν.

**1.** Πρβλ. Ἡσ. 53,1. **2.** Ρωμ. 10,14. **3.** Ρωμ. 10,17. **4.** Πρβλ. Γαλ. 3,24. **5.** Ρωμ. 10,18. Ψαλ. 18,5. **6.** Ρωμ. 9,20. **7.** Ρωμ. 10,19. **8.** Πρβλ. Γεν. 12,2. 26,4. Ἀριθ. 24,17. Ρωμ. 15,10.



## Ρωμ. 11,1

Ἐπειδὴ τοῦ τε νόμου τὸ χρήσιμον ἀπὸ τῶν πεπιστευκότων ἔδειξε καὶ τῇ πρὸς τὰς ἀντιῤῥήσεις ἀποκρίσει τὴν κατὰ τῶν ἠπιστηκότων κατηγορίαν ἐπέτεινεν ὡς οὐδεμίαν τῇ ἑαυτῶν κακίᾳ διαβολὴν τῷ νόμῳ φερόντων, ἀπολογεῖται λοιπὸν καὶ περὶ τοῦ μηδὲν ἐπὶ διαβολῇ τῆς τοῦ Ἀβραὰμ συγγενείας εἰρηκέναι[1] διὰ τῆς κατὰ τῶν ἠπιστηκότων μέμψεως. Ἆρα γάρ, φησί, τοῦ μὲν νόμου τὴν οἰκονομίαν θαυμαστήν τινα εἶναι νενόμικα, τὴν συγγένειαν δὲ τοῦ Ἀβραὰμ ἐν τοῖς λόγοις ἀδόκιμον οὖσαν δείκνυμι; Μὴ γένοιτο· τίς δὲ τοῦ με ταῦτα λέγειν ἡ ἀπόδειξις; Καὶ γὰρ «ἐγώ», φησίν, «Ἰσραηλίτης εἰμί»[2] καὶ τὰ ἑξῆς. Εἶχεν μὲν εἰπεῖν πολλοὺς ἐκ τοῦ γένους πεπιστευκότας Χριστῷ, ἀλλὰ πρὸς τό «λέγω οὖν» τοῦτο ἦν οἰκειότερον τὸ καθ' ἑαυτὸν εἰπεῖν· πῶς γὰρ οἷόν τε ἦν **154** ἐπὶ τῇ πίστει σεμνυνόμενον καὶ περὶ ταύτης διδάσκειν ‹μὴ› ὑπισχνούμενον ἑτέρους; Καλῶς δὲ οὐ τὸν προπάτορα μόνον εἶπεν, ἀλλὰ καὶ τὸν φύλαρχον, ὥστε δεῖξαι ὅτι οὐ πλάττεται τὴν οἰκειότητα.

## Ρωμ. 11,2-5

**[852]** Ἐπιλέλησθε, φησί, τῶν κατὰ τὸν Ἠλίαν, ὡς ἔοικεν, ὅπως ὁ μὲν ᾐτιᾶτο τὸν Ἰσραὴλ τῆς ἐπὶ τὸ χεῖρον ἐκτροπῆς ὀκνῶν ἀποστέλλεσθαι ἔτι πρὸς τοὺς οὕτως ἀγνώμονας, ἀπεκρίνατο δὲ αὐτῷ ὁ Θεός «ἑπτακισχιλίους»[3] ἔχειν τοὺς ἔτι τῆς αὐτοῦ γνώσεως ἐπιμελουμένους καὶ μὴ πρὸς τὸ χεῖρον νεύσαντας, διὰ τούτου προτρέπων αὐτὸν ἔχεσθαι τοῦ τῆς διδασκαλίας ἔργου, ὡς ἂν οὐκ εἰς μάτην πονοῦντα τοῦ λοιποῦ· καὶ ὅτι Θεὸς ἀρκεῖν ἡγήσατο, εἰ ἀπὸ παντὸς τοῦ δήμου τῶν Ἰουδαίων ἑπτακισχίλιοι τῇ τῶν Προφητῶν διδασκαλίᾳ ἐπὶ τῆς εὐσεβείας μένοιεν[4], ὥστε οὐδὲν ἀπεικὸς πλείονας εἶναι καὶ νῦν τοὺς οὐ βουλομένους τοῖς περὶ τῆς εὐσεβείας λεγομένοις πείθεσθαι. Οὐ μὴν ταῖς περὶ τὸ γένος ἐπαγγελίαις τοῦ Θεοῦ διαβολήν τινα φέρει τὸ γιγνόμενον· τοῦ μὲν γὰρ τὸ χρήσιμον ἐν τοῖς πιστεύουσι διαδείκνυται, ἡ δέ γε τῶν λοιπῶν ἀπιστία

**1.** Πρβλ. Ρωμ. 11,1. **2.** Ρωμ. 11,1. **3.** Γ' Βασ. 19,18. **4.** Πρβλ. Ρωμ. 11,3-5.

ἔλεγχον ἔχει τῆς αὐτῶν κακίας, εἰ μηδὲν ὄφελος ἀπὸ τῆς τοσαύτης κηδεμονίας ἐδέξαντο.

## Ρωμ. 11,7

Τινὲς ὑπὸ πολλῆς τῆς ἀνοίας οὕτως ἀνέγνωσαν· «τί οὖν ἐπιζητεῖ Ἰσραήλ;»[1]. Συνάψαντες τούτῳ τό «ὃ οὐκ ἐπέτυχεν», ἔτι καὶ τὰς λέξεις τὰς ἀποστολικὰς ἀφανίσαντες ἵνα τὴν ἑαυτῶν ἱστάναι δόξωσιν ἄνοιαν, καὶ τὸ ὃ ὅπερ κεῖται πρὸ τοῦ «ἐπιζητεῖ Ἰσραήλ» ἀφελόντες καὶ τεθεικότες τό «τοῦτο ὃ οὐκ ἐπέτυχεν», ὡς ἂν τοῦ Ἀποστόλου λέγοντος· τί ποτε οὖν ἄρα ἐστὶ τὸ παρὰ τοῦ Ἰσραὴλ ἐπιζητούμενον; Τοῦτο δὴ ὅπερ οὐκ ἐπέτυχεν. Τελοιότατά γε οἰηθέντες τὸν Ἀπόστολον δεικνύναι σπουδάζειν τὸ παρὰ τοῦ Ἰσραὴλ ἐπιζητούμενον, τί ποτε ἄρα ἐστίν, καὶ οὐ συνεωρακότες, ὅτι ἀπὸ τῶν προειρημένων κατὰ συλλογισμὸν αὐτὸ ἐπήγαγεν. Ἀναγνωστέον οὖν οὕτως· «τί οὖν;». Ἀντὶ τοῦ τί τοίνυν τὸ ἐκ τῶν προειρημένων ἡμῖν συναγόμενον, ἐν οἷς τῶν τε ἠπιστηκότων κατηγορήσαμεν καὶ τοὺς πεπιστευκότας δικαιότατα τὴν τῶν δογμάτων **155** ἀλήθειαν προτετιμηκότας ἐδείξαμεν; «Ἐπιζητεῖ Ἰσραήλ, τούτου οὐκ ἐπέτυχεν»[2], ὅτι τοῖς Ἰσραηλίταις τυχεῖν οὐκ ἐγένετο τούτου ὃ δὴ ζητεῖν δοκοῦσιν, ἵνα εἴπῃ τῆς δικαιοσύνης· ὅμοιον γάρ ἐστι τῷ· «Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασεν»[3]. Λείπει δὲ τὸ πάντες, ἵνα ᾖ· τούτου πάντες οὐκ ἐπέτυχον· ἐπάγει γάρ· «ἡ δὲ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν», ἵνα εἴπῃ ὅτι ἔτυχον μὲν τῆς δικαιώσεως οἱ τῆς ἐκλογῆς ἀπὸ τοῦ οἰκείου τρόπου νομισθέντες ἄξιοι, οἱ δὲ λοιποὶ πάντες ἀπεβλήθησαν διὰ τὴν ἑαυτῶν κακίαν.

## Ρωμ. 11,9-10

Οὐχ ὡς προφητικῶς εἰρημέναις ἐχρήσατο ταῖς φωναῖς, ἀλλ' ὡς ἁρμοττούσαις αὐτοῖς ἀπὸ τῶν Γραφῶν τῷ καὶ περὶ Ἰουδαίων αὐτὰς εἰρῆσθαι, ὁμοῦ κἀκεῖνο δεικνὺς ὅτι μηδὲν καινὸν ἐγένετο νῦν, παρόμοια δὲ τοῖς τότε ὑπομεμενήκασιν, προτετιμηκότες τοῦ κρείττονος τὸ χεῖρον· ἐπειδὴ γὰρ ἀπὸ τῆς ἑαυτῶν ἀποβολῆς

**1.** Ρωμ. 11,7. **2.** Ἔνθ. ἀν. **3.** Ρωμ. 9,31.



ἐπειρῶντο τὸ Χριστιανι**[853]**κὸν δόγμα διασύρειν Ἰουδαῖοι[1], ἀναγκαίως διὰ πλειόνων ὁ Ἀπόστολος δείκνυσι πάντοτε τοιούτους αὐτοὺς περὶ τὴν εὐσέβειαν γεγονέναι.

## Ρωμ. 11,11

Ἀλλὰ μὴ τοῦτό φαμεν ὅτι σφαλέντες περὶ τὴν εὐσέβειαν καὶ μὴ πιστεύσαντες τῷ Χριστῷ παντελῆ τὴν ἀποβολὴν ὑπέμειναν, ὡς μηδεμίαν αὐτοῖς ἐλπίδα σωτηρίας περιλειφθῆναι, κἂν εἰ βούλοιντό ποτε πρὸς τὸ κρεῖττον ἰδεῖν; Μὴ γένοιτο· τοὐναντίον γὰρ μέμνημαι εἰρηκώς, ὅτι κἂν [εἰς] τοὺς πλείστους αὐτῶν διὰ τὴν ἀπιστίαν αὐτῶν ἀποβληθῆναι συνέβη, ἀλλ' οὖν γε οἱ πεπιστευκότες ἐξ αὐτῶν καίτοιγε ἄγαν ὄντες εὐαρίθμητοι, πᾶσι τοῖς ἐξ ἐθνῶν σωτηρίας ἐγένοντο πρόξενοι, ἐπείπερ ἅπαντες οὗτοι τοῦ τῆς εὐσεβείας μαθήματος τὰς ἀφορμὰς ἐκεῖθεν ἐδέξαντο, ὥστε ἔξεστι καὶ τοῖς νῦν ἀπιστοῦσι τῶν Ἰουδαίων τοὺς ἐξ αὐτῶν πεπιστευκότας ἤδη μιμήσασθαι, ζήλῳ τε ἀγαθῷ τῆς πρὸς τὸ κρεῖττον ἐπιθυμῆσαι ῥοπῆς· ὁ γὰρ ἐκείνους πεπιστευκότας οὐκ εἰσδεξάμενος μόνον, ἀλλὰ καὶ διδασκάλους ἀποφήνας τῆς οἰκουμένης, δῆλον ὡς οὐδὲ τούτους πιστεῦσαι βουληθέντας εἰς αὐτὸν ἀδοκίμους ἡγήσεται· τὸ γὰρ «εἰς τὸ παραζηλῶσαι αὐτούς»[2] οὐ τοὺς ἐξ ἐθνῶν, ὥς τινες ᾠήθησαν, λέγει ἀλλὰ τοὺς ἐξ αὐτῶν, εἰς ἀπόδειξιν αὐτὸ εἰρηκὼς τοῦ ἐξεῖναι εἰσδεχθῆναι καὶ **156** τούτους, εἰ δὴ πιστεῦσαι βούλοιντο. Τὸ μέντοι «εἰς τὸ παραζηλῶσαι αὐτούς» οὐκ ἐπ' αἰτίας λέγει, ἀλλὰ τὸ ἑπόμενον ἑαυτῷ συνήθως ἀντὶ τοῦ· εἰ ἐκεῖνοι πιστεῦσαι βουληθέντες εἰσεδέχθησαν καὶ διδάσκαλοι τοῖς ἐξ ἐθνῶν ἐγένοντο, πρόδηλον ὡς ἔξεστι καὶ τούτοις κατὰ μίμησιν ἐκείνων τῆς εἰς τὴν πίστιν εἰσόδου τυχεῖν. Εἶτα καὶ ποθεινὴν αὐτῶν τὴν ἐπιστροφὴν ἐργαζόμενος ἐπάγει καί φησιν.

## Ρωμ. 11,12

[Εἰ γὰρ ἐν ὀλίγοις, φησί, καὶ ἄγαν εὐαριθμήτοις τοσαύτης ἐνεγένετο τοῖς κατὰ τὴν οἰκουμένην ἀνθρώποις τυχεῖν ἀφθονίας

**1.** Πρβλ. Ρωμ. 11,9. **2.** Ρωμ. 11,11.

ἀγαθῶν, τί ποτ' ἄρα δεῖ νομίζειν ἔσεσθαι, εἰ πάντας αὐτοὺς συμφώνως ὑποδέξασθαι τὸν Χριστὸν συνέβη;[1]].

## Ρωμ. 11,15

Τίνος ἕνεκεν τῇ πάντων διορθώσει τὴν 'Ανάστασιν ἡγεῖται ὁ 'Απόστολος ἔφεσθαι πάντων, ἀναγκαῖον εἰπεῖν. Τοῖς μὲν ἀλόγοις φυσικῶς ἅπαντα πρόσεστι, καὶ οὐχ οἷά τέ ἐστι τὸ κακὸν ἀπὸ τοῦ καλοῦ διακρίνοντα ἐξουσίᾳ γνώμης τὸ δοκοῦν ἑλέσθαι, ἀνάγκη δὲ πᾶσα τοῖς ὅροις ἐμμένειν τῆς φύσεως, διά τοι τοῦτο περιττὸς ἅπας ἐστὶ νόμος ἐκείνοις οὔτε μαθεῖν οὔτε μὴ συνιέναι τι τοιοῦτο δυναμένοις· Τοῖς δὲ λογικοῖς πᾶν τοὐναντίον· καὶ γὰρ διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ κακοῦ δύνα‹ν›ται, καὶ ἐξουσίᾳ γνώμης τὸ δοκοῦν αἱροῦνται, ἥ τε τῶν νόμων ἔκθεσις ἄγαν ἐπιτηδεία τούτοις ἐστὶν ἅτε δυναμένοις ἐκεῖθεν τὸ καλὸν παιδεύεσθαι. Τοιοῦτο δὴ τὸ ἡμέτερον γένος ὁ Θεὸς ἀπειργάσατο, τήν τε φύσιν ἡμῖν ἐπιτηδείαν πρὸς μάθησιν δεδωκὼς καὶ νόμων ἐκθέσει ποικιλωτάτων τὸ κρεῖττον ὑποδείξας· οὐδὲ γὰρ ἀδίδακτον ἔχειν ἡμᾶς τῆς ἀρετῆς ἐνεδέχετο τὴν ἕξιν λογικοὺς γεγονότας τὴν φύσιν, ἐπείπερ αὕτη σαφὴς λογικῶν τε καὶ ἀλόγων διάκρισις, τῷ τὰ μὲν ἐν τῇ φύσει παντὸς οὑτινος οὖν ἔχειν τὴν εἴδησιν περαιτέρω δυ**[856]**νάμενα μανθάνειν οὐδέν, τοὺς δὲ τοῦ χρόνου προϊόντος τὰ πλείονα μανθάνειν ὧν οὐκ ἠπίσταντο πρότερον. Τούτου ἕνεκεν θνητοὺς μὲν ἡμᾶς κατὰ τὸν παρόντα τουτονὶ πεποίηκε βίον, νόμους δὲ ἔδωκεν ἱκανοὺς εἰς ὑπόμνησιν ἡμᾶς ἄγειν τῆς τοῦ καλοῦ διορθώσεως, ὡς ἂν ἐντελῆ τῆς ἀρετῆς οὕτως τὴν μάθησιν κομισαίμεθα. 'Εντεῦθεν κἂν πολλήν τινα πρὸς τὸ χεῖρον ἔχειν ἡμᾶς τὴν ῥοπὴν συμβαίνει, ἀλλ' οὖν γε βεβαίαν ἐπὶ τῆς ψυχῆς τοῦ καλοῦ τὴν εἴδησιν ἔχομεν, καὶ ἔστιν ἀνθρώπων οὐδεὶς ὃς οὐχὶ πάντως ἐπίσταται τὸ κρεῖττον τί ποτέ ἐστιν ἐν βίῳ. Οὕτω μὲν οὖν ἀσφαλῆ τε καὶ βεβαίαν ἐπὶ τοῦ παρόντος βίου τῆς ἀρετῆς τὴν διδασκαλίαν ἡμῖν παρέχεται. 'Επειδὴ δὲ οὐχ ὥσπερ ἴσμεν τὸ καλόν, οὕτω καὶ ποιεῖν αὐτὸ ῥᾳδίως δυνάμεθα, **157** ἄχρις ἂν ἐπὶ τῆς θνητότητος διαμένωμεν, δεύτερόν τινα βίον τὸν μέλλοντα ἡμῖν διὰ τῆς 'Αναστάσεως ὁ ποιητὴς δεδώρηται, κατὰ πολὺ τοῦ παρόντος ἀμείνω, ἀθάνατόν τε καὶ ἀπαθῆ καὶ πάσης ἁμαρτίας ἀπηλλαγμένον. Ἔστι τοίνυν οὐκ ἀνακαινισμὸς καὶ διόρθωσις μόνον τῶν παρόντων ἐκεῖνα, ἀλλὰ γὰρ καὶ τελείωσις· ἃ γὰρ ἐνταῦθα μαθόντες ποιεῖν οὐκ ἰσχύομεν, ταῦτα τότε ἡμῖν πόνων ἐκτὸς μετὰ πολλῆς προσέσται τῆς εὐμαρείας, τό τε ἀπηλλάχθαι, λέγω, τῆς τῶν χειρόνων πράξεως καὶ τὸ ἄσχετόν τινα τῶν καλῶν ἐπὶ τῆς ψυχῆς ἔχειν τὸν ἔρωτα. Εὐθὺ μὲν ἡμᾶς ἐν ἐκείνοις καταστῆσαι οὐ καλῶς ἔχειν ἡγησαμένου τοῦ σοφοῦ τῶν ψυχῶν οἰκονόμου, ὡς ἂν μὴ ἄλογόν τινα καὶ ἀδιάκριτον ἐνοῦσαν ἡμῖν ἔχοιμεν τοῦ καλοῦ τὴν ἕξιν, ἐγγενομένης δὲ ἡμῖν ἐπὶ τοῦ παρόντος βίου καθ' ὃν ἔφην τρόπον τῆς τοῦ καλοῦ μαθήσεως, εὐκαιρότατα καὶ μάλα γε ἀναγκαίως τῶν μελλόντων παρέχεται τὴν κατάστασιν· τοῦτο μέν, ἵνα κατὰ παράθεσιν τῶν παρόντων ἀκριβῶς εἰδέναι τῶν τότε τὸ διάφορον ἔχωμεν, τοῦτο δέ, ὡς ἂν λογικῇ πρεπόντως φύσει τῆς τοῦ καλοῦ κατορθώσεως αἰσθανώμεθα, ὧν ἐνταῦθα κατὰ τὴν ἀπόρρητον τοῦ Θεοῦ σοφίαν ποικίλως τὴν εἴδησιν ἐδεξάμεθα, ταῦτα τότε πόνων ἐκτὸς τῇ τοῦ Πνεύματος χάριτι κατορθωμένα ἐν ἡμῖν ὁρῶντες, καίτοιγε ἐπὶ τοῦ παρόντος οὐδὲ μετὰ πόνων παραπλησίως τοῖς τότε καθαρεύειν τῆς τῶν ἀτόπων δυνάμενοι πράξεως. Ταῦτα ἡμῖν εἴρηται ἐπὶ τὸ σαφέστερον γενέσθαι τί ποτε ὁ 'Απόστολος βούλεται λέγειν τό «τίς ἡ πρόσληψις, εἰ μὴ ζωὴ ἐκ νεκρῶν;»[1]. Ὡς γὰρ ἐκείνου μὲν πρὸς τὴν τῶν ἐνθάδε συντελοῦντος τελείωσιν. Διὰ δὲ τοῦτο ἡμῶν ἐπὶ τοῦ παρόντος βίου γεγονότων θνητῶν, ἵνα τῆς ἀρετῆς ἡ διδασκαλία κατὰ τὸ προσῆκον ἡμῖν ἐγγένηται πρότερον, εἶτα τῶν μελλόντων ἐπὶ τελείᾳ κατορθώσει τῶν ἐγνωσμένων δεξόμεθα τὴν ἀπόλαυσιν, τοῦτο λέγει, ὅτι ὀλίγοι πεπιστευκότες ἐξ αὐτῶν αἴτιοι τῆς τῶν ἐξ ἐθνῶν σωτηρίας ἐγένοντο καὶ δι' ἐκείνων τὸ τυχεῖν τῆς παρὰ τοῦ Θεοῦ καταλλαγῆς ὑπῆρξε μικροῦ παντὶ τῷ κόσμῳ. Εἰ δὲ πάντες ἐπίστευσαν 'Ιουδαῖοι ἀκόλουθα τῇ τοῦ νόμου παιδαγωγίᾳ φρονήσαντες, πρόδηλον μὲν ὡς ἑτοιμοτέρα καὶ τοῖς ἔθνεσι διὰ τῆς τούτων συμφωνίας ἡ ἐπὶ τὸν Χριστὸν ἐγίνετο πίστις· πᾶσι δὲ λοιπὸν τοῦ τῆς εὐ**[857]**σεβείας ἐνόντος μαθήματος, οὐδὲν ἂν ἐκώλυσε

1. Πρβλ. Ρωμ. 11,12.



1. Ρωμ. 11,15.

τῶν νεκρῶν τὴν ἀνάστασιν ἀκολουθῆσαι τούτοις τὸ τελειότατον ἀγαθόν, καὶ οὐ δὴ ταύτης ἕνεκεν τῆς αἰτίας οὐ τετυχήκαμεν ἄχρι τοῦ δεῦρο ὥστε ἀκριβῆ πρότερον ἡμῖν τοῦ καλοῦ τὴν μάθησιν ἐγγενέσθαι, ὡς εἴγε τοῦτο ὑπῆρξεν, εἵπετο κἀκεῖνο πάντως. Ὁ μέντοι μακάριος Παῦλος ἐπειδὴ ἀπεφήνατο τὴν μεταβολὴν αὐτῶν ἐξ ἀγαθοῦ δεῖν τίθεσθαι μοίρᾳ, τοῦτον ἔχων δι' ὅλου σκοπὸν τοὺς ἐξ ἐθνῶν παιδεῦσαι προσίεσθαι μᾶλλον αὐτούς, μὴ μὴν ἀπωθεῖσθαι βουλομένους προσιέναι τῷ τῆς εὐσεβείας μαθήματι, πειρᾶται καὶ ἀπὸ πραγμάτων δεικνύναι ὡς οὐκ ἄδεκτοι, σπουδῆς δὲ ἄξιοι πρὸς τὸ κρεῖττον βουλόμενοι ῥέπειν καί φησιν.

**158** Τινὲς ταὐτὸ λέγειν τὸν Ἀπόστολον τήν τε «ἀπαρχὴν» καὶ τὴν «ῥίζαν» ᾠήθησαν, οὐδὲ ἐκεῖνο λογισάμενοι ὅτι ἡ μὲν «ἀπαρχὴ»[1] μετὰ τὴν τοῦ παντὸς ἐκλέγεται συλλογήν, ἡ δέ «ῥίζα» ἀρχή τις νενόμισται πράγματος· ὅθεν κἀνταῦθα ἀκολούθως «ἀπαρχὴν» μὲν ἐκάλεσε τὸν Χριστόν, ὡς ἂν ἐκ παντὸς εἰλημμένον τοῦ τῶν Ἰουδαίων συλλόγου, «ῥίζαν» δὲ λέγει τὸν Ἀβραάμ, ἐξ οὗπερ ἅπαν ἔφυ τὸ γένος, καλῶς ἐξ ἑκατέρου τὸ πρὸς τὴν εὐσέβειαν αὐτῶν ἐπιτήδειον εἰπεῖν προθέμενος, εἰ μὴ γνώμῃ τὰ χείρονα αἱροῖντο· γελοῖον γὰρ τὴν μέν «ἀπαρχὴν» αὐτῶν ἁπάσης ἀξίαν ἡγεῖσθαι τιμῆς, τουτουσὶ δὲ προσιέναι βουλομένους τῷ τῆς εὐσεβείας μαθήματι ἀπωθεῖσθαι ὡς οὐκ ἀξίους τοῦ πράγματος.

## Ρωμ. 11,19-21

Θαυμάσαι ἄξιον ὅπως ἀπὸ τούτων ἐφ' οἷς δὴ μάλιστα μέγα φρονεῖν οἱ ἐξ ἐθνῶν ἐδόκουν, ὅτι τε συναλγεῖν αὐτοὺς τοῖς Ἰουδαίων κακοῖς καὶ ὅτι φοβεῖσθαι μᾶλλον αὐτοὺς ἐφ' ἑαυτοῖς προσῆκον εἴη ἄν, συνέστησεν ἀκριβῶς· τί γὰρ μεγάλα, φησί, φρονεῖς[2], ὅτι οἱ μὲν ἀπεβλήθησαν, σὺ δὲ εἰσεποιήθης[3]; Ἀλλ' οὐ δίκαιον τὸν ἐν τοῖς ἐκείνων καυχώμενον μὴ καὶ τὰς συμφορὰς αὐτῶν νομίζειν οἰκείας, ἀλλὰ καὶ φοβεῖσθαι πλέον διὰ τοῦτο προσῆκεν ὑμᾶς τῇ ἐκείνων σωφρονιζομένους μνήμῃ.

**1.** Ρωμ. 11,16. **2.** Πρβλ. Ρωμ. 11,20. **3.** Πρβλ. Ρωμ. 11,21.



## Ρωμ. 11,22

Σὺ μέντοι, φησίν, ἔξεστι δι' ἑκατέρου τὸ πρέπον παιδεύεσθαι, καὶ λογιζόμενος μὲν τὴν περί σε τοῦ Θεοῦ φιλοτιμίαν ἧς ἠξιώθης διὰ τὴν πίστιν, προθυμότερος γίνου περὶ τὴν εὐσέβειαν, ἐννοῶν δὲ ὅπως ἐκείνους διὰ τὴν ἀπιστίαν ἀπεποιήσατο, πάσῃ δυνάμει μὴ τοῖς αὐτοῖς περιπεσεῖν φυλάττου· «ἀποτομίαν»[1] γὰρ οὐκ ὠμότητα λέγει ἀλλὰ τὴν ἀποτομήν, ἀντὶ τοῦ ὅπως διεῖλεν αὐτοὺς καὶ ἀπέτεμεν τοῦ καταλόγου τῶν εὐσεβῶν. Ἐάν τε οὖν ὑμεῖς μεταβληθῆτε τὴν γνώμην, φησίν, οὐδὲν ὄφελος ἔσται τῶν παρόντων, ἐκείνοις τε πάλιν ἔξεστι μεταβαλλομένοις τῆς παρὰ τοῦ Θεοῦ τυχεῖν οἰκειώσεως.

**159** Οὐκ ὀκνήσω δέ, φησίν, ὑμῖν κἀκεῖνο εἰπεῖν, καίτοιγε ἄδηλον ὄν, ὥστε μὴ ἀγνοίᾳ τοῦ ἐσομένου δικαιότατα αὐτῶν ἀπεγνωκέναι νομίζειν ὑμᾶς· τὸ γάρ «ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι»[2], ἀντὶ τοῦ ἵνα μὴ νομίζητε συνετόν τι παρ' ἑαυτοῖς ἔχειν τὴν ἐκείνων ἀπόγνωσιν. Τί δὲ τοῦτό ἐστιν; ὅτι οὐκ εἰς τὸ παντελὲς ἀλλότριοι τῆς εὐσεβείας οὗτοι μενοῦσιν, ἔσται δὲ καιρὸς καθ' ὃν ἐπιγνώσονται καὶ αὐτοὶ τἀληθές, ἐπειδὰν οἱ πανταχόσε ἄνθρωποι τὸ τῆς εὐσεβείας ὑποδέξωνται μάθημα, «καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται»[3]· ἵνα εἴπῃ οἵ τε ἀπὸ τῆς φύσεως τὴν πρὸς τὸν Ἰσραὴλ συγγένειαν ἔχοντες, ἀντὶ τοῦ οἱ Ἰουδαῖοι, καὶ οἱ διὰ τῆς πίστεως ἀξίους ταύτης ἑαυτοὺς τῆς προσηγορίας καταστήσαντες, λέγει δὲ τοὺς ἐξ ἐθνῶν.

## Ρωμ. 11,28

Ἐκεῖνο τοίνυν ὑμᾶς εἰδέναι προσήκει, ὅτι ἐγὼ τοῦ μὲν Εὐαγγελίου ἕνεκεν, ὅταν αὐτὸ διασύρειν βούλωνται, τὴν ὑμετέραν αἰτιώμενοι πρόσοδον καὶ ταύτην ὡς οἴονται ἀφορμὴν εὔλογον προϊσχόμενοι, τοῦ μὴ πείθεσθαι τοῖς ἡμετέροις δι**[860]**δάγμασιν, ἐχθροὺς[4] αὐτοὺς εἶναι νενόμικα, ἅτε δὴ πολεμίους τῆς πίστεως· τότε γὰρ οὐδενὸς ἀφίσταμαι τῶν ὅσα πρὸς ἔλεγχον τῆς αὐτῶν κα-

**1.** Ρωμ. 11,22. **2.** Ρωμ. 11,25. **3.** Ρωμ. 11,26. **4.** Πρβλ. Ρωμ. 11,28.

κίας εἰπεῖν προσήκει, διὰ δὲ τὴν πρὸς τοὺς πατέρας οἰκειότητα οὕτως αὐτοὺς περὶ πολλοῦ ποιεῖσθαι ἐσπούδακα, ὡς μηδὲ πάσχειν ἥν τι δέῃ ὑπὲρ τῆς αὐτῶν σωτηρίας ὀκνεῖν· οἶδα γὰρ ἀκριβῶς ὅτι οὐ Θεὸς μεταμεληθεὶς ἐπὶ τῇ τῶν πατέρων ἐκλογῇ τούτους ἀπεποιήσατο, αὐτοὶ δὲ μοχθηρίᾳ γνώμης τῆς ἀπὸ τοῦ Θεοῦ ἀλλοτριώσεως ἑαυτοῖς γεγόνασι πρόξενοι.

### Ρωμ. 12,1

Ἐπειδὴ τοὺς δογματικοὺς συνεπέρανε λόγους, τῶν ἠθικῶν ἐντεῦθεν ἅπτεται, ἀναγκαιότατα ἀπὸ παρακλήσεως τὴν ἀρχὴν ποιούμενος· ἐν ἐκείνοις μὲν γὰρ οὐ χαλεπὸν ἦν τοῖς βουλομένοις μετὰ τὴν μάθησιν κατέχειν τὰ εἰρημένα, τῇ δέ γε ἀρετῇ καὶ πόνος συνέζευκται, ὥστε μετὰ πολλοῦ μέν τινα προσιέναι τοῦ ὄκνου τῇ αὐτῆς ἐργασίᾳ, καὶ ἀρχόμενον δὲ πολλοῦ δεῖσθαι καμάτου πρὸς τὴν κατόρθωσιν. Ἐπικουφίζει τοίνυν τῇ παρακλήσει τοῦ πράγματος τὸ ἐπίπονον, δυσωπητικωτάτην δὲ εἰργάσατο τὴν παράκλησιν εἰπὼν «διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ»[1]· ἐπειδὴ γὰρ πλείστην ἐν τοῖς δογματικοῖς περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὴν διδασκαλίαν ἐποιήσατο, ᾗ περὶ πάντας ἀνθρώπους χρῆται, ἀναγκαίως τῇ τούτων ὑπομνήσει δυσωπεῖ μᾶλλον αὐτοὺς ἀρετῆς **160** ἐπιμελεῖσθαι, δεικνὺς ὅτι οὐχ ἐφόδιον ῥᾳθυμίας αὐτοῖς ἐκεῖνο γίνεσθαι δίκαιον, τοὐναντίον δὲ πάλιν ἃ προσήκει τὴν σπουδὴν συνεισφέρειν, αἰσχυνομένους τὸ περὶ τὸν οὕτω χρηστὸν ἀγνώμονας φαίνεσθαι. Τίς δὲ ἡ παράκλησις, «παραστῆσαι τὰ σώματα ὑμῶν»[2] καὶ τὰ ἑξῆς; Λέγει μὲν ὅτι ἀφορίσαι δίκαιον ὑμᾶς τὸ ἑαυτῶν σῶμα τῷ Θεῷ, ὑπηρετούμενον αὐτοῦ τοῖς νόμοις, ἐπείπερ δίκαιον τὸ παρὰ τοῦ Θεοῦ γεγονὸς μὴ κακίας ὄργανον εἶναι ἀλλὰ τῆς ἀρετῆς. Τὸ μὲν οὖν παραστῆσαι ἀφορίσαι λέγει, ἐκ μεταφορᾶς αὐτὸ λαβὼν τῶν ἢ βασιλεῦσιν ἢ δεσπόταις πρὸς τὸ ὑπηρετεῖν παρεστώτων, οἷς ἕπεται πάντως τὸ τὰ ἀναγκαῖα τῆς ὑπηρεσίας πληροῦν, ὡς καὶ ἀνωτέρω ἔφη· «μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἶτα ὡς ἐπὶ βασιλέως ἀκολούθως ἐπαγαγών· μηδὲ παρι-

1. Ρωμ. 12,1. 2. Ἔνθ. ἀν.



στάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ»[1]. Θαυμασιώτατα δὲ τὴν συμβουλὴν διὰ πάντων ἐπέτεινεν, οὐ τῷ «παραστῆσαι» μόνον εἰπεῖν ἀλλὰ καί «τῷ θυσίαν» αὐτὸ ὀνομάσαι· ἔδειξεν γὰρ ὡς οὐδενὶ λόγῳ προσῆκεν εἰς τὸ ἐναντίον καταχεχρῆσθαι τῇ τοῦ σώματος ὑπηρεσίᾳ, ἐπείπερ οὐδὲ τὰς προσαγομένας τῷ Θεῷ κατὰ νόμον τῶν ἀλόγων θυσίας τῇ κοινῇ χρήσει παραδίδοσθαι τῶν ἀνθρώπων θεμιτὸν ἦν ἔτι. «Ζῶσαν» δὲ ταύτην **[861]** προσεῖπεν, ἐπειδὴ τὰ μὴν κατὰ νόμον προσκομισθέντα νεκρὰ μετὰ τὴν θυσίαν ἦν ὡς εἰκός, ταῦτα δὲ αὐτοῦ γε τούτου ἕνεκεν Θεῷ προσήγετο, ὥστε ἐν τῷ ζῆν τὰ τοῖς αὐτοῦ νόμοις πράττειν ἀκόλουθα· ὅθεν καί «ἁγίαν» προσεῖπεν ταύτην, ἐπειδὴ ἐκείνην ἐνεχώρει μὴ τοιαύτην εἶναι τῇ τῶν προσκομιζόντων κρινομένην «κακίᾳ», ἀλλὰ καί «εὐάρεστον τῷ Θεῷ»· ἐκείνη γὰρ οὐ πάντως τοιαύτη. Καὶ τό «τὴν λογικὴν λατρείαν ὑμῶν» πολὺ τὸ διάφορον ἔδειξεν· οὐ γὰρ ὅμοιον ἀλόγῳ προσκομιδῇ λατρεύειν Θεῷ καὶ λογισμῶν τελειότητι τὴν πρὸς τὸν Θεὸν συνείδησιν ἐπὶ τῶν ἔργων δεικνύναι.

### Ρωμ. 12,3α

Τὰ μὲν οὖν προλαβόντα περὶ τῆς καθόλου λεγόμενα ἀρετῆς καλῶς ἔχειν ἠδύνατο, ἐξέρχεται δὲ λοιπὸν ἐπὶ τὸ κατὰ μέρος, πρὸ πάντων τὴν ὑπερηφανίαν ὡς ἂν χείριστον ἀπαγορεύων οὐκέτι παρακλήσει ἀλλ' αὐθεντίᾳ μᾶλλον· οὐ γὰρ ὅμοιον ἐπ' ἀρετὴν προτρέπειν καὶ τὴν τῶν ἀτόπων ἀπαγορεύειν πρᾶξιν· ὅθεν ἐκείνῃ μὲν παράκλησιν συνῆφθαι πρέποι ἄν, ταύτῃ δὲ καὶ σφοδρότης ἁρμόσει πολλάκις, καὶ γὰρ τῇ προσθήκῃ «τῆς χάριτος τῆς δοθείσης μοι»[2] φοβερωτέραν εἰργάσατο τοῦ κακοῦ τὴν ἀποτροπήν.

### Ρωμ. 12,3b

**161** Παραφροσύνην τὴν ὑπερηφανίαν εἰπών, ὑγιῆ δὲ φρόνησιν τὴν μετριότητα, ἵνα μὴ ἐντεῦθεν σύγχυσίν τινα ἐργάζεσθαι δόξῃ,

1. Ρωμ. 6,12-13. 2. Ρωμ. 12,3.

ὡς ἂν οὐδὲ τῆς ἐκκλησιαστικῆς εὐταξίας δι' ὑπερβολὴν μετριότητος φυλάττεσθαι ἐν αὐτοῖς ὀφειλούσης, καλῶς ἐπάγει· «ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως»[1]. Βούλομαι, φησί, μετριάζειν μὲν ἅπαντας, φυλάττεσθαι δὲ ἐν ὑμῖν καὶ τὴν τάξιν ἀναλόγως τοῖς νενεμημένοις ὑμῖν ὑπὸ τοῦ Θεοῦ χαρίσμασιν· ἐπειδὴ γὰρ πλεῖστα ἦν ἐν αὐτοῖς τὰ χαρίσματα, μερισμὸν πίστεως καὶ ἐπιμέτρησιν λέγει τῶν χαρισμάτων τὴν διανομήν.

## Ρωμ. 12,6

[Τὴν δὲ τοῦ χωρίου τούτου ἀκολουθίαν ὁ μέν τις ἀπέδωκε χωρὶς τοῦ «δέ» συνδέσμου ἀναγινώσκων καὶ τοῖς ἀνωτέρω ἐπισυνάπτων. Οὕτω γάρ, φησί, νοητέον· «μέλη ἀλλήλων ἐσμὲν ἔχοντες χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα»[2]· εἰ γὰρ καί «διάφορα» ταῦτα, ἀλλ' οὖν εἰς κοινὴν ὠφέλειαν ὑπὸ τῆς θείας κεχορήγηται χάριτος].

## Ρωμ. 12,8

Τό «ὁ προϊστάμενος»[3] ἀντὶ τοῦ ὁ ἐπιμελούμενος λέγει. Οὕτως καὶ ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ· «εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδεν, πῶς ἐκκλησίας Θεοῦ ἐπιμελήσεται;»[4]. Σαφῶς τὴν προστασίαν ἐπὶ τῆς ἐπιμελείας λέγων· διάφοροι γὰρ τρόποι τότε μάλιστα εὐποιΐας παρὰ τῶν εὐπορωτέρων εἰς τοὺς πενεστέρους τῶν ὁμοπίστων ἐγίνετο, περὶ ὧν νῦν λέγει καὶ τό «ὁ μεταδιδούς», καὶ τό «ὁ προϊστάμενος», καὶ τό «ὁ ἐλεῶν» περὶ τῶν αὐτῶν λέγων.

## Ρωμ. 12,10

Τό «τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι»[5] ἐστὶ μὲν ὅμοιόν πως τῷ «ἡ ἀγάπη ἀνυπόκριτος», ἐπείπερ οὐδὲν διαλλάττει τοῦ ἀληθινῶς ἀγαπᾶν τὸ σφόδρα στέργειν, ἔχει δέ τι πλέον τῇ τοῦ «εἰς

1. Ρωμ. 12,3. 2. Ρωμ. 12,5-6. 3. Ρωμ. 12,8. 4. Α' Τιμ. 3,5. 5. Ρωμ. 12,10.



ἀλλήλους» προσθήκῃ· τὴν γὰρ αὐτὴν σπουδὴν πάντας περὶ ἀλλήλους ἔχειν βούλεται, ἐπεὶ μηδὲ οἷόν τε ἄλλως κρατεῖσθαι τὴν ἀγάπην, ἀλλ' ἢ τοῦ ἀγαπωμένου τὴν αὐτὴν σώζειν περὶ τὸν ἀγαπῶντα γνώμην ἐσπουδακότος, ὅπερ εἰ μὴ γίγνοιτο, ἀφέξεται τοῦ ἀγαπᾶν πάντως ὁ ἀγαπῶν ὅσην ἂν ἔχῃ τὴν φιλίαν, οὐκ ἀνεχόμενος φιλῶν περιορᾶσθαι.

## Ρωμ. 12,13

**162** «Ταῖς χρείαις», φησί, «τῶν Ἁγίων κοινωνοῦντες»[1]. Ἔνια δὲ τῶν ἀντιγράφων «ταῖς μνείαις» **[864]** ἔχει, τῆς αὐτῆς οὔσης διανοίας· λέγει γὰρ ὅτι δίκαιον ὑμᾶς μνημονεύειν πάντοτε τῶν Ἁγίων[2], κοινάς τε αὐτῶν τὰς χρείας νομίζειν καὶ οὕτως αὐτοῖς ἐπικουφίζειν τὴν ἔνδειαν.

## Ρωμ. 12,16-17

«Μὴ γίνεσθε», φησί, «φρόνιμοι παρ' ἑαυτοῖς»[3], τοῦτο πάλιν ἕτερον γινόμενον ἀπὸ ὑπερηφανίας. Μὴ τὸ τῇ διανοίᾳ σου, φησί, παραστὰν ἁπλῶς αἱροῦ, ὅταν τῇ κοινῇ ὑπολήψει φαίνηται ἄτοπον. Καλῶς δὲ καὶ τό «μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες»[4]· πάλιν γὰρ ἐπὶ τὰ πρὸς τοὺς ἐναντίους ἀπὸ τῶν πρὸς ἀλλήλους ἐξελήλυθεν. Προσέθηκεν οὖν τό «μηδενί» ἀντὶ τοῦ οὐδὲ ἐπὶ τῶν ἀλλοτρίων τῆς πίστεως τοῦτο ἐπιδείκνυσθαι δίκαιον.

## Ρωμ. 13,5

Κατ' ἀμφότερα, φησί, τὸ ὑποτετάχθαι τοῖς τοιούτοις πρέπει, τοῦτο μὲν ἵνα τὸ πρέπον διαπραττόμενοι τὴν ἐκεῖθεν τιμωρίαν ἐκκλίνωμεν, τοῦτο δὲ ἵνα τῇ πρὸς τούτους αἰδοῖ τὴν ὀφειλομένην συνείδησιν τῷ ταῦτα τάξαντι Θεῷ ἀποδιδόντες φαινώμεθα[5]. Δῆλον δὲ ἄρα κἀκεῖνο ὡς ὑποτάσσεσθαι τοῖς ἄρχουσιν ἐν τούτοις ὁ μακάριος Παῦλος παραινεῖ, οὐχ ἵνα κἂν ἀσεβεῖν ἀναγκάζωσι

1. Ρωμ. 12,13. 2. Πρβλ Γαλ. 2,1. Ἐφεσ. 5,20. 3. Ρωμ. 12,16. 4. Ρωμ. 12,17. 5. Πρβλ. Ρωμ. 13,5.

πειθώμεθα· σαφῶς γὰρ καὶ τὸν σκοπὸν εἶπε τῆς ἀρχῆς, καὶ οὗπερ ἕνεκεν ὁ Θεὸς οὕτως ἔταξε τὰ ἀνθρώπινα, ὥστε τὸ περὶ τῆς εὐσεβείας νομοθετεῖν ἃ μὴ δεῖ οὐ τοῦ σκοποῦ τῆς ἀρχῆς εἴη ἄν, ἀλλὰ τῆς γνώμης τῶν οὐκ εἰς δέον τῷ ἄρχειν κεχρημένων. Τὰ μὲν γὰρ εἰς Θεὸν ἀναφερόμενα οὐ τῶν ἀρχόντων κρίνειν ἴδιον, ἐπειδὴ μηδὲ πρὸς τοῦτο κατέστησαν, περὶ δὲ τῶν ἐν ἀνθρώποις κινουμένων καὶ τῶν πρὸς ἀλλήλους δικαίων μεσῖται τινὲς καὶ βραβευταὶ τοῦ δικαίου οἱ ἄρχοντες καθιστάμενοι, ὅταν ἀκόλουθα τῷ οἰκείῳ σκοπῷ διαπράττωνται, ἀναγκαιότατόν τι χρῆμα δεικνύουσι τὴν ἀρχήν.

## Ρωμ. 13,7

«Φόρον» καλεῖ τὴν ὑπὲρ τῆς γῆς συντέλειαν, «τέλος»[1] δὲ τὴν ὑπὲρ τῆς ἐμπορίας ἤ τινος τέχνης σωματικῆς.

## Ρωμ. 13,8

**163** Συντόμως εἰπεῖν νόμου πλήρωσις τῆς ἀγάπης[2] ἡ φυλακή, καὶ ἐπειδὴ παράδοξον ἄγαν ἦν τὸ λεγόμενον, ἐπήγαγε τὸ ἑξῆς.

## Ρωμ. 13,10

Ἅπαν νόμιμον ἢ ἀπαγόρευσιν ἔχει κακοῦ ἢ πρᾶξιν καλοῦ· τὰ μὲν γὰρ ἵνα μὴ βλάπτωμεν ἀλλήλους ὁ νομοθέτης ἐξέθετο, τὰ δὲ ἵνα τι καὶ εὐποιῶμεν ἀλλήλους κατὰ δύναμιν. Ἀλλὰ πάντα ταῦτα περιείληπται ἐν τῷ ἀγαπᾶν τὸν πλησίον ἐπιτάττοντι νομίμῳ· καλῶς οὖν τὸ ἀνακεφαλαιοῦται, ἀντὶ τοῦ πάντα ἐκεῖνα τὰ διὰ πολλῶν νενομοτεθημένα ὥσπερ τινὰ ἀνακεφαλαίωσιν ἐν τῷ τὸν πλησίον ἀγαπᾶν περιέχεται.

Ὁ γὰρ ἀγαπῶν, φησί, βλάπτειν τὸν ἀγαπώμενον οὐκ ἀνέχεται, εἴπερ ἀληθῆ περὶ αὐτὸν ἔχει ἀγάπην[3]· οὐκοῦν τῆς ἀγάπης ἡ φυλακὴ τοῦ παντός ἐστι νόμου κατόρθωσις. Εἶτα ἐπὶ παραίνεσιν ἐκφέρει τὸν λόγον καί φησι τὸ ἑξῆς.

**1.** Ρωμ. 13,7. **2.** Πρβλ. Ρωμ. 13,8. **3.** Πρβλ. Ρωμ. 13,10.



## Ρωμ. 13,11

**[865]** Οὕτως ἀναγνωστέον, «καὶ τοῦτο», εἶτα διαστήσαντα, «εἰδότες τὸν καιρόν»[1] καὶ τὰ ἑξῆς· βούλεται γὰρ εἰπεῖν ὅτι καὶ τούτου δὲ ἡμῖν ἐπιμελητέον ὅπως ἂν πράττωμεν ἃ δεῖ, εἰδότες ἐφεστῶτα τὸν καιρὸν τοῦ ἀποθέσθαι τὴν ἐπὶ τοῖς ἁμαρτήμασιν ἡδονὴν ὥσπερ τινὰ ὕπνον βαθύν. «Σωτηρίαν δὲ ἡμῶν» καλεῖ τὴν Ἀνάστασιν, ἐπειδὴ τότε τῆς ἀληθινῆς ἀπολαύσομεν σωτηρίας.

## Ρωμ. 13,12

«Ἡμέραν» καλεῖ τὸν ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας καιρόν, ὡς τῆς αὐτοῦ φανερώσεως τρανοτάτην τῶν τε καλῶν καὶ μὴ τοιούτων ποιησαμένης τὴν διάκρισιν, «νύκτα»[2] δὲ τὸν πρὸ τούτου χρόνον· ἄμφω δὲ ὡς πρὸς ἐκείνους μάλιστα λέγει τοὺς εἰδώλοις προσέχοντας, παρ' οἷς οὐκ ἦν νόμιμα οὐδὲ διδασκαλία τῶν πρακτέων. Ὁ τῆς ἀγνοίας οὖν, φησί, καιρὸς παρῆλθεν, ὅτε ἦτε ὡς ἐν νυκτὶ οὔτε Θεὸν εἰδότες οὔτε νομίμων δεδεγμένοι διαγόρευσιν, ἐπέστη δὲ ὁ τῆς ἡμέρας καιρὸς ἀντὶ μεγίστου φωτὸς τῆς τοῦ Χριστοῦ παρουσίας ἐπιλαμψάσης ἡμῖν.

## Ρωμ. 13,14

«Ἀλλ' ἐνδύσασθε», φησί, «τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας»[3]. **164** Τό «ἐνδύσασθε» ἀντὶ τοῦ ἐνεδύσασθε λέγει· βούλεται γὰρ εἰπεῖν ὅτι διὰ τῆς ἀναγεννήσεως τοῦ Βαπτίσματος συναφθέντες τῷ Χριστῷ καὶ μέλος τοῦ κοινοῦ σώματος τῆς Ἐκκλησίας ἀποφανθέντες οὗπερ ἐκεῖνός ἐστι κεφαλή, ὥσπερ ἐνεδύσασθε αὐτὸν τῇ κοινωνίᾳ τῶν προσδοκωμένων, καθὸ καὶ συμμετασχεῖν αὐτῷ τῆς Ἀναστάσεως ἐλπίζετε. Δίκαιοι τοίνυν ἂν εἴητε τὰ πρέποντα τῇ καταστάσει φρονεῖν ἐκείνῃ, ἐν ᾗπερ ἅπαντα πεπαῦσθαι τὰ τοιαῦτα ἀνάγκη· οὐδὲν οὖν ἐπιτελεῖν τοιοῦτον προσῆκεν ὑμᾶς οἷον ὁ μὲν αἰὼν ἐκεῖνος οὐ δέξεται. Ἐπὶ δὲ τῶν φιλαμαρτημόνων πάροδον ἔχει κατὰ τὸν παρόντα καιρόν, ἔνθα φθορᾷ μὲν ἔτι τὸ ἡμέτερον ὑπόκειται σῶμα,

**1.** Ρωμ. 13,11. **2.** Ρωμ. 13,12. **3.** Ρωμ. 13,14.

πολλὴ δὲ καὶ τῶν παθῶν ἐντεῦθεν ἡμῖν ἡ ἐνόχλησις γίνεται. Εἰρήκαμεν δὲ καὶ ἀνωτέρω ὅτι «σάρκα» ἡ Γραφὴ πολλάκις οὐ τὴν φύσιν αὐτὴν ἀλλὰ τὸ θνητὸν ἤτοι τὸ πρόσκαιρον οὕτω καλεῖ· τοῦτο οὖν κἀνταῦθα λέγει «τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας»[1], οὐ τῆς φύσεως αὐτῆς λέγων, ἀλλ' ἀντὶ τοῦ μὴ ταῖς ἐπιθυμίαις ἑαυτῶν ἐξακολουθεῖτε, σπουδὴν τιθέμενοι ἐκεῖνα πράττειν ἃ κατὰ τὸν παρόντα βίον διὰ τῆς ἐνούσης ἡμῖν θνητότητος τὴν κίνησιν δέχεται. «Σαρκὸς οὖν πρόνοιαν» λέγει τὴν περὶ τὰ παρόντα ἤτοι καὶ τὰ ἄτοπα σπουδήν, ὡς ἂν ἐν τῷ βίῳ τούτῳ πράττεσθαι δυνάμενα μόνον, ἐπὶ δὲ τοῦ μέλλοντος αἰῶνος οὐκέτι· ὅθεν αὐτὸ καὶ ἀντέταξεν τό «ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν», ὃ δὴ μίμημα τῆς μελλούσης ἐστὶ καταστάσεως. Μὴ τοίνυν περὶ τοῦτο, φησίν, ἔχετε τὴν σπουδήν, ὅπως ἂν τὰς τοῦ παρόντος αἰῶνος ἐπιθυμίας ἐπιτελῆτε, αἷς οὐδεμία πρὸς τὴν μέλλουσαν κατάστασιν κοινωνία.

## Ρωμ. 14,5

Καὶ τοῦτο πάλιν κατὰ συγχώρησιν λέγει· ἄνω μὲν γὰρ περὶ τῆς τῶν βρωμάτων διελέχθη παρατηρήσεως, ἐνταῦθα δὲ περὶ τῆς τῶν ἡμερῶν[2]. Δῶμεν τοίνυν τοὺς μὲν παρατηρεῖσθαι κατὰ τὴν νομικὴν διάταξιν τὰς ἡμέρας, ἐν μὲν ταύτῃ πράττοντας οὐδέν, ἐν ἐκείνῃ δὲ τῶν ἔργων ἁπτομένους, κατὰ ταύτην ἑορτάζοντας τὴν ἡμέραν, ἐν ἑτέρᾳ τῆς ἑορτῆς παυομένους· ἑτέρους δὲ πᾶσαν ἡμέραν ἐν ἴσῳ βούλεσθαι ἔχειν, καὶ κατὰ πᾶσαν μὲν ἐργάζεσθαι, πᾶσαν δὲ ἑορτάζειν Θεῷ τῶν τε σωματικῶν κατὰ τὸ ἐπεῖγον ἁπτομένους ἀεὶ καὶ τῆς εἰς Θεὸν εὐχαριστίας οὐδέποτε παυομένους. Οὐ δίκαιον οὖν μάχεσθαι ὑμᾶς διὰ τοῦτο, ἄμεινον δὲ ἀπηλλάχθαι μάχης καταλιπόντας ἐν τοῖς τοιούτοις ἕκαστον μένειν ἐπὶ τῆς οἰκείας αἱρέσεως.

## Ρωμ. 14,7-9

Τί λέγω, φησί, περὶ τοῦ ἐσθίειν καὶ τοῦ μὴ ἐσθίειν; Οὔτε ζῶντες ἑαυτῶν ἐσμεν, οὔτε ἀποθνήσκοντες· κἂν γὰρ ζῶμεν, τὴν αὐτοῦ

1. Ρωμ. 13,14. 2. Ρωμ. 14,5.



ζωὴν ζῶμεν, κἂν ἀποθνήσκωμεν, κατὰ τὸν ὅρον ἀποθνήσκομεν ἐκείνου. **165** Σκοπὸν τοίνυν ἁπανταχοῦ προσῆκεν ἡμῖν τοῦτον εἶναι, τῷ Θεῷ ἀρέσκειν, λογιζομένοις ὅτι ζῶντες καὶ ἀποθνήσκοντες ἐκείνου πάντως ἐσμέν[1]. Καὶ δεικνὺς ὅτι οὐκ ἀπὸ τῆς ποιήσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν προσφάτως οἰκονομηθέντων διὰ Χριστοῦ, ἐπήγαγεν· «εἰς τοῦτο γὰρ Χριστός»[2] καὶ τὰ ἑξῆς. Λογίσασθε γάρ, φησίν, ὅτι Χριστὸς καὶ ἀπέθανεν ὑπὲρ ἡμῶν, καὶ ἀποθανὼν ἀνέστη, καὶ ἀναστὰς ζῇ, ζωὴν διηνεκῆ ὑπὲρ ἡμῶν ἅπαντα ποιήσας, ἵνα καὶ ἡμεῖς ἀποθανόντες τῆς τε Ἀναστάσεως αὐτῷ κοινωνήσωμεν καὶ τῆς ζωῆς ἀπολαύσωμεν, ὡς πανταχόθεν φαίνεσθαι ἡμᾶς καὶ Χριστῷ δουλεύειν ἀνάγκην ἔχοντας, εἴγε καὶ ἀποθνήσκοντες ἐκείνου πάντως ἐσμέν, **[868]** τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος ὥστε ἡμᾶς ἀναστῆσαι· καὶ ζῶντες ἐκείνῳ τὴν ζωὴν ὀφείλομεν, ὃς παρέσχεν ἡμῖν τὴν μετὰ θάνατον παρ' ἐλπίδα ζωήν.

## Ρωμ. 14,10-11

Τὸ μέν «τί κρίνεις;»[3] πρὸς τὸν ἐξ Ἰουδαίων εἴρηται, τὸ δέ «τί ἐξουθενεῖς;» πρὸς τὸν ἐξ ἐθνῶν. Οὐδετέρῳ, φησίν, ὑμῶν πρέπον οὐδέτερον, ἐπειδὴ ἀνάγκη πάντως τῷ κριτηρίῳ τοῦ Χριστοῦ παραστάντας τὰς εὐθύνας τῶν βεβιωμένων ὑποσχεῖν. Καὶ εἰς πίστωσιν τῶν εἰρημένων μαρτυρίαν τίθησιν· «γέγραπται γάρ· ζῶ ἐγώ, λέγει Κύριος»[4], καὶ τὰ ἑξῆς. Ὅτι μὲν οὖν εἰς πίστωσιν τῶν περὶ Χριστοῦ λελεγμένων αὐτῷ τὴν μαρτυρίαν παρήγαγε δῆλον, ἐκεῖνο δὲ ἰστέον ὅτι ἔνθα τοῦτο Ἡσαΐας φησί, συνεχῶς εἴρηται τό «ἐγώ εἰμι Θεός, καὶ οὐκ ἔστιν ἔτι, καὶ ἐγώ εἰμι Κύριος, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ· δίκαιος καὶ Σωτήρ, οὐκ ἔστι πάρεξ ἐμοῦ»[5], καὶ ὅσα τοιαῦτα. Ζητητέον οὖν πῶς τούτοις ἐπὶ τοῦ Χριστοῦ συνεχρήσατο ὁ Ἀπόστολος. Πρὸς μὲν τοὺς αἱρετικοὺς ἐλαττοῦν τὴν θεότητα τοῦ Μονογενοῦς παντὶ τρόπῳ βουλομένους εἴποι ἄν τις ὅτι εἴτε ὡς περὶ τοῦ Χριστοῦ λεγομένοις τούτοις ἐνταῦθα ἐχρήσατο, εὔδηλος ἡ ἀξία τῆς θεότητος τοῦ Μονογενοῦς κατ' οὐδὲν ἐλαττουμένης τοῦ Πατρός,

1. Πρβλ. Ρωμ. 14,8. 2. Ρωμ. 14,9. 3. Ρωμ. 14,10. 4. Ἀριθ. 14,28. Ἡσ. 49,18. 5. Ἡσ. 45,18.

εἴτε περὶ τοῦ Πατρὸς εἰρημένοις παρὰ τῷ Προφήτῃ περὶ τοῦ Κυρίου λέγων ὁ ᾿Απόστολος ἐχρήσατο τῇ μαρτυρίᾳ· καὶ οὕτω δέδεικται οὐχ ἑτέρας ὢν θεότητος ὁ Υἱός, ὅπουγε συνεχρήσατο τῇ φωνῇ, ὡς ἂν ὁμοίως καὶ ἐπὶ τοῦ Χριστοῦ λέγεσθαι δυναμένῃ, κἂν περὶ τοῦ Πατρὸς εἰρημένη τυγχάνῃ. Τοῦτο μὲν οὖν πρὸς τοὺς αἱρετικοὺς εἴποι ἄν τις, τὸ δέ γε ἀληθὲς ἐκεῖνο ὅτι μηδὲ περὶ τοῦ Πατρὸς εἴρηται ἰδικῶς μήτε περὶ τοῦ Χριστοῦ, ἀλλ᾽ ἁπλῶς περὶ τῆς θείας φύσεως τῆς ἀνωτάτω καὶ πάντων αἰτίας· καὶ διὰ τοῦτο ὁ ᾿Απόστολος τῇ μαρτυρίᾳ ἐπὶ τοῦ Χριστοῦ κατεχρήσατο, ὁμοίως καὶ Πατρὶ καὶ Υἱῷ τὰ τοιαῦτα πρέπειν νομίζων, ὡς ἂν οὐδεμιᾶς οὔσης κατὰ τὴν φύσιν διαφορᾶς. Παραπλησίως τοῦτο καὶ ἐπὶ τῆς πρὸς ῾Εβραίους τό «σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν»[1], περὶ τοῦ Χριστοῦ χρησάμενος φαίνεται.

## Ρωμ. 14,13

**166** «Μηκέτι οὖν», φησίν, «ἀλλήλους κρίνωμεν». Τοῦτο μὲν εἴρηται κατὰ κοινοῦ, ἐντεῦθεν δὲ λοιπὸν πρὸς τοὺς ἀπ᾽ ἐθνῶν τείνει λόγον, ὡς ἂν ἀρκούντως τὰ πρὸς ᾿Ιουδαίους εἰπών. Οὐ δίκαιον οὖν ὑμᾶς, φησί, κριτὰς καθίστασθαι τῶν ὁμοπίστων μένοντος ἅπαντας τοῦ κριτηρίου τοῦ Χριστοῦ, «ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον»[2]. πολλὰ γὰρ οἱ ἀπὸ ῾Ελλήνων παρὰ ῾Ρωμαίοις ἐπικρατέστεροι ὄντες καὶ τῷ πλήθει καὶ τῇ τῶν προσώπων ἀξιοπιστίᾳ, διεπράττοντο μᾶλλον ἐπὶ διασυρμῷ τῶν ᾿Ιουδαίων, ἐπ᾽ ὄψεσιν ἐκείνων ἐσθίειν ἐπιτηδεύοντες ταῦτα ὧν δὴ μάλιστα ἀπέχεσθαι σπουδὴν εἶχον, ὡς ἐντεῦθεν ἐκείνους ταραττομέ**[869]**νους καὶ τῆς εὐσεβείας ἀφίστασθαι πολλάκις, καὶ μὴν καὶ τοῦ κοινοῦ συλλόγου καταῤῥαθυμοῦντας ἐφ᾽ ἑαυτῶν γίνεσθαι μᾶλλον. Καλὸν οὖν, φησί, τοῦτο μᾶλλον ὑμᾶς δοκιμάσαι, τὸ μηδὲν ποιεῖν εἰς βλάβην τοῦ ἀδελφοῦ, μηδὲ τοιαῦτα πράττειν ἃ τῆς εὐσεβείας ἐκεῖνον ἐκτρέπει. Καὶ ἵνα μὴ δόξῃ τὴν τῶν βρωμάτων παρατήρησιν καὶ αὐτὸς ἐπεισάγων ταῦτα λέγειν, ἐπήγαγεν·

**1.** ῾Εβρ. 1,12. Ψαλ. 101,28. **2.** Ρωμ. 14,13.



## Ρωμ. 14,14-15

«Οἶδα καὶ πέπεισμαι ὅτι οὐδὲν κοινὸν δι᾽ αὐτοῦ»[1] καὶ τὰ ἑξῆς, ἀναγκαίως καὶ τῇ διατάξει χρησάμενος εἰς τὴν τοῦ λεγομένου πίστωσιν, καὶ τῇ «δι᾽ αὐτοῦ» προσθήκῃ ἀξιοπιστοτέραν τὴν ἀπόφασιν ἐργασάμενος, ὡς ἂν ἀρκοῦντος τοῦ Χριστοῦ πάντα καθαρὰ δεικνύναι. ᾿Ακάθαρτον οὖν, φησίν, οὐδὲν εἶναί φημι τῶν εἰς βρῶσιν κειμένων, εἰ μή τις ἀσθενείᾳ λογισμῶν τοιαύτην περὶ τῶν ἐδεσμάτων λαμβάνει τὴν γνώμην. Οὕτως οὐ τὴν τοιαύτην ἀποδέχομαι παρατήρησιν· ἀλλὰ τί ἐπήγαγεν; «Εἰ γὰρ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατ᾽ ἀγάπην περιπατεῖς»[2]· ἀλλ᾽ ὅτι μὴ δίκαιόν σε, φησί, διὰ βρῶσιν λυπεῖν τὸν ἀδελφόν, δέον τῇ ἀνάγκῃ καὶ μειζόνων ἀνέχεσθαι.

## Ρωμ. 14,17

῎Αξιον μέντοι κἀκείνους γελάσαι τῆς εὐηθείας ἐντεῦθεν, οἳ μετὰ τὴν ᾿Ανάστασιν ἐσθίειν τε καὶ πίνειν ἡμᾶς νομίζουσιν, σφόδρα δὴ ἐναντία ὑπολαμβάνοντες τῇ Παύλου φωνῇ «οὐκ ἐν βρώσει καὶ πόσει τὴν Βασιλείαν τοῦ Θεοῦ»[3] περιορίζεσθαι φάσκοντος.

**167** [῎Εργον Θεοῦ τῶν ἀνθρώπων τὴν σωτηρίαν φησίν. Οὐ δίκαιον οὖν τοῦτο διὰ βρῶμά σε καθαιρεῖν ὅπερ ἀνίστησιν ὁ Θεός. ῾Ορᾷς εἰς ὅσον ηὔξησε τὸ ἁμάρτημα. Καὶ ἐπείπερ ἦν εἰκὸς αὐστηροτέρους ἐν αὐτοῖς ὄντας τινὰς δυσχεραίνειν πρὸς τὴν παραίνεσιν, καί που καὶ λέγειν τυχόν· τίς χρεία τῶν ῥημάτων τούτων τῶν πολλῶν; Τί γὰρ οὐχὶ καὶ αὐτὸς ἀκάθαρτα αὐτὰ σαφῶς εἶναί φησιν; ᾿Αναλαμβάνει πάλιν ἀσφαλιζόμενος καί φησιν· «πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι»].

Πάλιν ἀσφαλιζόμενος τοῦ μὴ δοκεῖν τῆς τῶν βρωμάτων παρατηρήσεως ἐπιμελεῖσθαι, καὶ αὐτὸς ἐπάγει· «πάντα μὲν καθαρὰ τοῖς καθαροῖς»[4]. Ταῦτα λέγω, φησίν, οὐ τὴν παρατήρησιν ἐκείνην βουλόμενος κρατεῖν· Τοὐναντίον γὰρ ἅπαντα εἶναι καθαρὰ νομίζω ὅσα πρὸς βρῶσιν ὑπὸ Θεοῦ γεγένηται. Τί οὖν σοι βούλεται τὰ

**1.** Ρωμ. 14,14. **2.** Ρωμ. 14,15. **3.** Ρωμ. 14,17. **4.** Τίτ 1,15.

λεγόμενα; «Ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ», φησί, «τῷ διὰ προσκόμματος ἐσθίοντι»[1]· ἀλλ' εἰ καὶ καθαρὸν τὸ βρῶμα, ἡ γοῦν μετάληψις αὐτοῦ σοι οὐ καλὴ οὐχ ἁπλῶς ἐσθίοντι, ἀλλ' εἰς βλάβην ἑτέρου ἐπὶ διασυρμῷ καὶ χλεύῃ.

## Ρωμ. 14,22-23

«Μακάριος», φησίν, «ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει»[2]. Φωνὴν τέθεικεν οὐκ ἐκείνοις ἀναγκαίαν μόνοις, ἀλλὰ γὰρ καὶ πᾶσι τοῖς ὅτι δήποτε τῶν εἰς ἀκρίβειαν συντεινόντων μετιέναι βουλομένοις. Ἐγὼ γάρ, φησίν, ἐκεῖνον μακαριστὸν εἶναι τίθεμαι, ὃς ἐπειδάν τι δοκιμάσῃ δι' ἀκρίβειαν καὶ ἀρετὴν μετιέναι, ἔχεται μὲν τοῦ ἔργου, οὐ μὴν ἑαυτὸν ὑπερέχειν διὰ τοῦτο νομίζει τῶν οὐ τὸ αὐτὸ μετιόντων· καλὸν γὰρ πάσης ἐκτὸς οἰήσεως τὴν ἀρετὴν ἐπιτελεῖν, μὴ ὑπερέχειν ἑαυτὸν διὰ ταῦτα νομίζοντα, ἅπερ ἂν ἐπιθυμίᾳ τῶν κρειττόνων μετίῃ, μηδὲ μὴν ἀποδοκιμάζοντα τὸν οὐκ ἐν τοῖς αὐτοῖς ἐξεταζόμενον. Τοῦτο μὲν οὖν εἴρηται κατὰ κοινοῦ τῷ Ἀποστόλῳ οὐκ ἐπὶ τῶν παρόντων μόνον, ἀλλὰ γὰρ ἐπὶ παντὸς οὗτινος οὖν φυλάττεσθαι ἀξίου. Πάλιν δὲ ἐπὶ τὸ προκείμενον ἀνάγει τὸν λόγον· «ὁ δὲ διακρινόμενος ἐὰν φάγῃ κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως ἁμαρτία ἐστίν»[3]. Ὁ δὲ διακρινόμενος οὐκ ἐπὶ τῇ βρώσει λέγει, ἀλλ' ἐπὶ τῷ ὁμοπίστῳ· ὁ μὲν γὰρ διὰ πίστιν, φησίν, ἁπλῶς **168** καὶ ἀδιαφόρως μεταλαμβάνων τῶν εἰς βρῶσιν κειμένων ἐσθίει κάλλιστα, ὁ δέ γε πρὸς τὸν ἀδελφὸν διαφερόμενος διὰ τοῦτο καὶ μετὰ τῆς πρὸς ἐκεῖνον ἔριδος ἐσθίων βλάπτεται, μᾶλλον ἀφορμὴν τῆς πρὸς τὸν πλησίον ἔριδος τὸ βρῶμα ποιούμενος· ἔοικεν γὰρ οὐ διὰ πίστιν αὐτὸ ποιεῖν ἀδιαφόρως, ἀλλὰ φιλονεικίᾳ μᾶλλον τῇ πρὸς ἐκεῖνον· τὸ δὲ μὴ ἁπλότητι γινόμενον μετὰ πίστεως, ἀλλ' ἔριδι τῇ πρὸς τὸν πλησίον, ὡμολογημένον ἁμάρτημα.

## Ρωμ. 15,1

Τοῦτο πάλιν πρὸς τοὺς ἀπ' ἐθνῶν λέγει, οἳ διέπτυον τοὺς ἀπὸ Ἰουδαίων τῆς νομικῆς παρατηρήσεως ἕνεκεν. Ὑμεῖς τοίνυν, φη-

1. Ρωμ. 14,20. Σ. Σειρ. 31,17. 2. Ρωμ. 14,22. 3. Ρωμ. 14,23.



σίν, οἱ δυνατοί, δίκαιοι ἂν εἴητε ἀνέχεσθαι τῆς ἀσθενείας ἐκείνων[1] καὶ φέρειν **[872]** αὐτοὺς ἀποστῆναι τῆς παλαιᾶς οὐ δυναμένους γνώμης. Μὴ μὴν τὸ ἑαυτῶν περισκοπεῖτε μόνον· τοῦτο γάρ ἐστι τὸ ἑαυτοῖς ἀρέσκειν, ἄμεινον δὲ καὶ τὸ τοῦ ὁμοπίστου περισκοπεῖν, ὅπως ἂν βελτιωθείη κἀκεῖνος. Καὶ παραδείγματα πείθων αὐτοὺς τοῦτο ποιεῖν ἐπήγαγεν τὸ ἑξῆς.

## Ρωμ. 15,5

Λέγει μὲν ὅτι χαρίσεται ὑμῖν ὁ Θεὸς πᾶσαν ὑπομονὴν καὶ παράκλησιν, ὥστε ὁμονοοῦντας πρὸς ἀλλήλους τῆς ἐπὶ τὸν Χριστὸν ἔχεσθαι πίστεως[2], οὕτω τε σύμφωνον τῷ Θεῷ καὶ Πατρὶ τὴν ὑμνῳδίαν ἀποδιδόναι. Ἔστι δὲ καὶ τοῦτο παραίνεσις ἐν σχήματι προσευχῆς· οἵους γὰρ αὐτοὺς εἶναι βούλεται, τοιούτους εἶναι ηὔξατο. Ὅθεν οὐκ ἐξιστάμενος τοῦ οἰκείου σκοποῦ πάλιν ἐπάγει.

## Ρωμ. 15,7

Ὥστε, φησί, δίκαιον ὑμᾶς μᾶλλον ἐφέλκεσθαι τοὺς ἀσθενεστέρους[3], λογιζομένους ὅτι δὴ καὶ ὑμᾶς ἀλλοτρίους ὄντας τῆς εὐσεβείας ὁ Χριστὸς οἰκειώσατο ἐπὶ τῷ τῆς μελλούσης παρὰ Θεοῦ δόξης τυχεῖν. Καὶ ἐπειδὴ πολὺν ἐποιήσατο πρὸς τοὺς ἀπ' ἐθνῶν τὸν λόγον, «δυνατούς» αὐτοὺς καλῶν καὶ «πίστιν» ὀνομάζων τὴν περὶ τῶν βρωμάτων γνώμην αὐτῶν, ἵνα μὴ δόξῃ τὰ Ἰουδαίων αὐτὰ ὡς ἂν οὐδενὸς ἄξια λόγου διασύρειν, ἐπήγαγεν τὸ ἑξῆς.

## Ρωμ. 15,8

Τὰ μὲν οὖν προειρημένα, φησίν, εἴρηταί μοι τὸ ἄκαιρον ἐλέγχοντι τῶν μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν βουλομένων ἀντέχεσθαι τῆς τῶν νομικῶν παρατηρήσεως[4], ἐπεὶ καὶ ἄγαν ἄτοπον εἶναι νενόμικα μετὰ τὴν τελειότητα τῶν κατὰ Χριστὸν ἐπ' ἐκεῖνα πάλιν δρομεῖν. Ἐπὶ διαβολῇ δὲ τῶν κατὰ τὸν νόμον ἔφην οὐδέν· τοὐναν-

1. Πρβλ. Ρωμ. 15,1. 2. Πρβλ. Ρωμ. 15,5. 3. Πρβλ. Ρωμ. 15,7. 4. Πρβλ. Ρωμ. 15,8.

τίον γὰρ ἅπαντα ἐκεῖνα **169** θαυμαστὰ καὶ μεγάλα εἶναι νενόμικα, εἰδὼς αὐτὰ διατάξεις ὄντα Θεοῦ, ὃς τὸν Ἀβραὰμ ἐκλεξάμενος[1] ἐπαγγελίας πρὸς αὐτὸν ἐποιήσατο τοῦ ἐπιμελήσεσθαι μὲν τῶν ἐξ αὐτοῦ, ποιήσειν δὲ καὶ τὰ ἔθνη πάντα διὰ τῆς πρὸς αὐτόν τε καὶ τὸ αὐτοῦ σπέρμα οἰκειώσεως τῶν παρ' αὐτοῦ τυχεῖν εὐλογιῶν, ὥστε ἅπαντας Θεόν τε τῶν ἁπάντων αἴτιον ἐπιγιγνώσκειν καί «πατέρα»[2] οἰκεῖον ἐπιγράφεσθαι τὸν Ἀβραὰμ περὶ πολλοῦ τὴν πρὸς τὸ σπέρμα αὐτοῦ τιθεμένους οἰκείωσιν. Ἔδει μὲν οὖν τὰς πρὸς Ἀβραὰμ ἐπαγγελίας πέρας λαβεῖν περὶ τοῦ ἅπαντα τὰ ἔθνη δι' αὐτοῦ τε καὶ τοῦ σπέρματος αὐτοῦ τυχεῖν τῶν παρὰ τοῦ Θεοῦ εὐλογιῶν. Ἐπειδὴ δὲ οἱ πλεῖστοι τῶν Ἰουδαίων οὐδὲν τῆς τοῦ Θεοῦ κηδεμονίας ἄξιον διεπράττοντο, οὐδὲ ἔκβασιν αἱ τοῦ Θεοῦ λαβεῖν ὑποσχέσεις διὰ τὴν ἐκείνων ἐδύναντο κακίαν, ὁ τοίνυν Χριστὸς ἐκεῖθεν κατὰ σάρκα τὸ γένος κατάγων, ἠνέσχετο δέξασθαι τὴν περιτομήν, καίτοιγε οὐδεμίαν ἔχων ἀνάγκην κατὰ τοὺς λοιποὺς Ἰουδαίους, οἳ διὰ τὴν οἰκείαν ἀγνωμοσύνην ἀναγκαίως ἐπὶ τῆς σαρκὸς τοῦ τρόπου τὸν ἔλεγχον φέρουσιν. Τίνος γὰρ καὶ ἔδει τῶν ἔξωθεν τῷ Χριστῷ ἐπὶ τῆς οἰκείας γνώμης τάς τε ὑποσχέσεις βεβαιοῦντι καὶ τοῦ νόμου πληροῦντι τὸ βούλημα; Ἀλλὰ καὶ τοῦτο εἵλετο ὥστε ἔχειν τῆς πρὸς τόν «προπάτορα»[3] ἐπαγγελίας τὸ σύμβολον, ἵνα ὅταν ἅπαντες ἐπὶ Χριστὸν πιστεύσωσι, τὸν ἐκ τοῦ Ἀβραὰμ τὸ γένος κατάγοντα, ἐπαγόμενον μετὰ τῆς κατὰ τὴν φύσιν οἰκειότητος καὶ τὸ σύμβο**[873]**λον τῆς πρὸς ἐκεῖνον ὑποσχέσεως ἀληθῆ καὶ βεβαίαν τὴν ἔκβασιν δεχομένης, τὸ τοὺς ἀπ' ἐθνῶν ἐπὶ τὸν Χριστὸν ἐκείνου σπέρμα τυγχάνοντα πιστεύσαντας ὁμοῦ τε τὸν Ἀβραὰμ ἐπιγράφεσθαι πατέρα[4], καὶ διὰ τῆς πρὸς τὸν ἐξ αὐτοῦ οἰκειώσεως τῶν παρὰ τοῦ Θεοῦ καλῶν ἀπολαύοντας, βεβαιοῦν τῶν εἰρημένων τὴν ἀλήθεια. Εἵλετο, φησίν, ὁ Χριστὸς τὴν περιτομὴν δεξάμενος ὥσπερ τις διάκονος γενέσθαι[5] τῶν ὑποσχέσεων ἐπὶ τούτῳ δοθεισῶν τῷ συμβόλῳ, ὥστε τοῦ Θεοῦ φανῆναι τὴν ἀλήθειαν πέρας τῆς πρὸς τοὺς πατέρας ὑποσχέσεως οὕτω λαμβανούσης. Οὐκοῦν Ἰουδαῖοι μέν, ἐπειδὰν ἐκεῖθεν Χριστῷ πι-

**1.** Πρβλ. Γεν. 12,2-3. **2.** Ρωμ. 4,12. **3.** Ρωμ. 4,1. **4.** Πρβλ. Ρωμ. 4,12. **5.** Πρβλ. Ρωμ. 4,8.



στεύσωσιν, ἀκολούθως ἀπὸ τῶν καλῶν ἐπὶ τὰ κρείττω μεθίστανται, οἱ δέ γε ἀπὸ Ἑλλήνων προσιόντες φιλανθρωπίᾳ Θεοῦ τὴν πρὸς ταῦτα οἰκείωσιν δέχονται. Ταῦτα μὲν οὖν εἰς σύστασιν ἔφη τῶν κατὰ νόμον ἐπὶ τῷ δεῖξαι, ὅση τίς ἐστι τῶν Ἑλληνικῶν καὶ τῶν κατὰ Ἰουδαίους ἡ διαφορά, ὥστε μὴ ἀπὸ τῶν προειληφότων διασύρειν τὰ τοῦ νόμου δοκεῖν. Ἀκολούθως δὲ πάλιν ἀσφαλίζεται τὸ μὴ Ἰουδαίοις ἀφορμὴν παρασχεῖν κατὰ τῶν ἀπ' ἐθνῶν ὡς ἂν πρόσφατον δεδεγμένων καί φησιν.

## Ρωμ. 15,9-12

Ταύταις ἐχρήσατο ταῖς μαρτυρίαις, ὥστε δεῖξαι ὅτι ἀεὶ καὶ παρὰ τοῖς Προφήταις δεδοκίμασται τὰ ἔθνη ἀξιόπιστα εἶναι πρὸς τὸ τῆς **170** εὐσεβείας μάθημα, εἰ δὴ βούλοιντο, εἴ γε καὶ εὐχαριστεῖν ἐπ' ὄψεσι ταῖς ἐκείνων ὁ Προφήτης ἐπαγγέλλεται, κοινωνεῖν τε τῆς εὐφροσύνης τῷ λαῷ προστάττονται καὶ ὕμνους ἀναπέμπειν Θεῷ[1].

## Ρωμ. 15,14

Ἐπειδὴ ἀρκοῦσαν πεποίηται πρὸς αὐτοὺς τὴν διδασκαλίαν, ἐπὶ τὴν ἀσφάλειαν αὖθις ἀνατρέχει τοῦ οἰκείου προσώπου. Εἰρήκει δὲ καὶ ἐπὶ τοῦ προοιμίου πολλὰ μέν, ὥστε μὴ αὐθαδείᾳ δοκεῖν ἐπιχειρεῖν τῇ πρὸς αὐτοὺς διδασκαλίᾳ παρὰ τοῦ μακαρίου Πέτρου παρειληφότας τῆς εὐσεβείας τὰ δόγματα, ἀπολογούμενος δὲ καὶ περὶ τοῦ μὴ ἀπεληλυθέναι ἄχρι τούτου, διὰ γραμμάτων δὲ καὶ νῦν αὐτοῖς διαλέγεσθαι[2]. Καίτοιγε πρὸς πολλοὺς ἀφικόμενος ἑτέρους, περὶ ἀμφοτέρων δὴ κἀνταῦθα διαλέγεται πρὸς τῷ τέλει λοιπὸν τῆς ἐπιστολῆς γενόμενος, πάνυ μὲν σπουδάζων δεικνύναι ὡς οὐδὲν ἐπιμέμφεται τοῖς τοῦ μακαρίου Πέτρου διδάγμασιν, ἀπολογούμενος δὲ ἑξῆς καὶ περὶ τοῦ μὴ ἀπεληλυθέναι πρὸς αὐτούς. Ἐνταῦθα τοίνυν φησὶν ὅτι σφόδρα «πέπεισμαι περὶ ὑμῶν»[3], ὡς παντὸς ἀγαθοῦ μεστοὶ καθεστήκατε καὶ πᾶσαν ἔχετε τῶν προση-

**1.** Πρβλ. Ρωμ. 15,9-12. **2.** Πρβλ. Ρωμ. 1,8-15. **3.** Ρωμ. 15,14.

κόντων τὴν γνῶσιν ὡς καὶ ἑτέρους δύνασθαι νουθετεῖν· τοιοῦτος γὰρ ὁ διδάξας ὑμᾶς.

## Ρωμ. 15,15

«Τολμηρότερον δέ», φησίν, «ἔγραψα ὑμῖν ἀπὸ μέρους»[1]. Καλῶς τό «ἀπὸ μέρους», ἵνα ‹μὴ› καθόλου δόξῃ τοῦτο ἀποφαίνεσθαι περὶ ἑαυτοῦ καὶ τὴν οἰκείαν ἐκβάλλειν οὕτω διδασκαλίαν, ἐπείπερ οὐδὲ ποιεῖν αὐτὸ ἐχρῆν, εἰ δὴ καθόλου τολμηρὸν ἐπεχείρει τοῖς μὴ προσήκουσιν· νυνὶ γὰρ τῇ τοῦ «ἀπὸ μέρους» προσθήκῃ καὶ τὸ ἀναγκαῖον τῆς ἑαυτοῦ διδασκαλίας ἐνεδείξατο καὶ τὴν αἰτίαν σαφῆ πεποίηκε δι' ἣν τολμηρότερον ἔφη γεγραφ[ηκ]έναι, οὐ τῷ αὐτοὺς διδάσκειν, ἀλλὰ τῷ μετὰ Πέτρον. Δεικνὺς γοῦν τὸ τοῦ πράγματος ἀναγκαῖον «ὡς ἐπαναμιμνήσκων ὑμᾶς» φησίν. Καλῶς τό «ἐπαναμιμνήσκων»· οὕτω γάρ, φησίν, ἀποδέχομαι ἐκεῖνα καὶ θαυμαστὰ εἶναι ἡγοῦμαι, ὥστε οὐδὲ διδάσκειν ἐπαγγέλλομαι, ἀλλ' εἰς ὑπόμνησιν ἄγειν ὧν μεμαθήκατε. Καὶ δεικνὺς ὅτι ἁρμόττον αὐτῷ τὸ ποιεῖν τοῦτο, ἐπήγαγεν· «διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ» καὶ τὰ ἑξῆς. Τῆς παρὰ τοῦ Θεοῦ χάριτος ἠξιώθην, φησίν, εἰς τὸ ὑπηρετεῖσθαί με τῷ Χριστῷ τοῖς πανταχόσε ἀνθρώποις διαγγέλλοντα τῶν δι' αὐτοῦ παρασχεθέντων ἡμῖν τὸ μέγεθος, ἐπὶ τὸ κἀκείνους πιστεύσαντας καὶ τῆς τοῦ Πνεύματος ἀξιωθέντας χάριτος τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν. Ἀναγκαίως οὖν καὶ τοῦτο ἐγχειρισθεὶς κέχρημαι τῇ πρὸς ὑμᾶς διδασκαλίᾳ, οὐ καινόν τι διδάσκειν ὑπισχνούμενος, οὐδὲ ὅπερ οὐκ ἔγνωτε παρὰ Πέτρου, εἰς ὑπόμνησιν δὲ τῶν προειληφότων ἄγων ὑμᾶς.

## Ρωμ. 15,22

**171** «Διὰ τοῦτο», φησίν, «ἐγὼ πρὸς ὑμᾶς ἐλθεῖν ἐπειχόμην»[2], ἐπειδὴ ὑμῖν μὲν ἀρκοῦντα τῆς εὐσεβείας διδάσκαλον ἀπέστειλεν ὁ Θεὸς τὸν Πέτρον, ἐμὲ δὲ περὶ τὴν τῶν λοιπῶν ὠφέλειαν ἀσχολεῖσθαι ἠβούλετο.

---

**1.** Ρωμ. 15,15. **2.** Ρωμ. 15,22.



## Ρωμ. 15,24

**[876]** Τὸ ἀπὸ μέρους εἶπεν[1] ὡς καὶ αὖθις πρὸς αὐτοὺς γενησόμενος, ἐπείπερ οὐχ ἅπαξ μόνον εἰς τὴν Ῥώμην ἀφίκετο ὁ μακάριος Παῦλος.

## Ρωμ. 15,28

«Καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦτον»[2] ἀντὶ τοῦ πληρώσας αὐτὸν λέγει, ἵνα εἴπῃ ἀποκομίσας καὶ δεδωκώς· εἰ γὰρ καὶ τῇ γνώμῃ τῶν δεδωκότων τέλειος ἦν ὁ καρπός, ἀλλὰ τῇ χρείᾳ ἀτελὴς οὔπω δεξαμένων ὧνπερ οὖν ἕνεκεν ἐδόθη. Θαυμαστὴ μὲν οὖν ἡ πρόγνωσις τοῦ μακαρίου Παύλου οὕτως ἀκριβῶς ὑποσχομένου τὸ ἀπελεύσεσθαι πρὸς αὐτοὺς καὶ ἀπ' αὐτῶν εἰς τὴν Σπανίαν, καὶ τοῦτο οὐκ εἰς ἅπαξ ἐμφήναντος ἔσεσθαι, ὅπερ οὖν τὸ ἀπὸ μέρους ἐμήνυσεν. Ὑπερβολὴν δὲ ἔχει θαύματος τὸ ἑξῆς.

## Ρωμ. 15,29

Σαφῶς δείκνυσιν ὡς καὶ τὸν τρόπον ἠπίστατο καθ' ὃν ἔμελλεν ἀπιέναι πρὸς αὐτούς[3]· τοῦτο δὲ ἦν τὸ δέσμιον αὐτὸν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Ῥώμην ὑπὲρ τῆς εὐσεβείας ἀχθῆναι. Ἦν δὲ καὶ τοῦτο οὐ μικρὸν εἰς ἀπόδειξιν τῆς γνώσεως ἣν περὶ τῶν μελλόντων ἐκέκτητο.

## Ρωμ. 15,30-33

Ὡς αὐτὸς ἐν πολλοῖς ἐξετάζεσθαι μέλλων θορύβοις, παρακαλέσας τε αὐτοὺς εἰκότως καὶ προσεύχεσθαι[4], τούτου γε ἕνεκεν ἐπεύχεται ἐκείνοις τὸ τῆς εἰρήνης ἀπολαύειν ἀεί, δεικνὺς ὅτι κἂν αὐτὸς ἐν τούτοις ὑπὲρ ἑτέρων ᾖ, τοὺς γοῦν λοιποὺς μετὰ πάσης ἀνέσεως τὴν εὐσέβειαν μετιέναι εὔχεται[5].

---

**1.** Πρβλ. Ρωμ. 15,24. **2.** Ρωμ. 15,28. **3.** Ρωμ. 15,29. **4.** Πρβλ. Ρωμ. 15,30. **5.** Πρβλ. Ρωμ. 15,31-33.

### Ρωμ. 16,3

**172** Ἔοικεν οὗτος εἶναι οὗ καὶ ἐν ταῖς Πράξεσιν ὁ μακάριος μέμνηται Λουκᾶς, ὡς ἐλλογίμου καὶ ἀπὸ τῆς γνώσεως τῶν θείων Γραφῶν συνέχοντος τοὺς Ἰουδαίους ἐν τοῖς ἐλέγχοις[1].

### Ρωμ. 16,18

Τὸ μὲν τῆς εὐλογίας, ἵνα εἴπῃ τῆς εὐφημίας καὶ τῆς κολακείας ἣν ἐπ' ἀπάτῃ πολλάκις ἐποιοῦντο. Λέγει δὲ περὶ τῶν ἀπὸ Ἰουδαίων, οἳ ἁπανταχόσε περιϊόντες τοὺς ἀπ' ἐθνῶν πιστεύοντας τῆς νομικῆς ἔχεσθαι παρατηρήσεως πείθειν ἐπειρῶντο, οὓς αὐτάρκως διέσυρεν τῷ εἰπεῖν ὅτι «τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ οὐ δουλεύουσιν ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ»[2], εἴγε ὑπὲρ τοῦ ἀπατῶντας δύνασθαι τὴν ἑαυτῶν γαστέρα πληροῦν πάντα ποιοῦσιν. Ἔδειξε δὲ κἀν τούτῳ ὅτι σφόδρα ἐπαινεῖ τὰ Πέτρου διδάγματα, ὅπου γε ἐπ' ἐκείνων αὐτοὺς βούλεται μένειν καὶ ἀποστρέφεσθαι τοὺς παρ' ἐκεῖνά τι διδάσκειν ἐπιχειροῦντας.

### Ρωμ. 16,23

«Οἰκονόμον τῆς πόλεως»[3] καλεῖ τὸν βιωτικήν τινα ἐγκεχειρισμένον φροντίδα παρὰ τῶν ἔξωθεν ἀρχόντων ἐπὶ διορθώσει τῆς πόλεως. Ἦν δὲ καὶ οὗτος τῶν πεπιστευκότων δηλονότι Χριστῷ.

**1.** Πρβλ. Ρωμ. 16,3. Πράξ. 18,2. **2.** Ρωμ. 16,18. **3.** Ρωμ. 16,23.

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΑΣ Α′ ΚΑΙ Β′ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΑΣ*

### Α′ Κορ. 1,1-2

**172** Ἑκάτερα συνυπακούεται τά τε τῶν γραφόντων προσώπων καὶ τῶν Κορινθίων πρὸς οὓς τὸ γράμμα ἐγίνετο, ἀντὶ τοῦ ἐγώ τε καὶ Σωσθένης[1] γράφομεν μετὰ πάντων τῶν παρ' ἡμῶν ταύτην ἀσπαζομένων τὴν ἐπίκλησιν, κοινωνοὺς τε τῆς τοῦ γράφειν αὐθεντίας τοὺς παρ' ἡμῖν τοιούτους ἅπαντας λαμβάνοντες καὶ τὸν τῆς προσηγορίας ταύτης ἀλλότριον εἰς τὴν κοινωνίαν ταύτην οὐκ εἰσδεχόμενοι. Ὑμῖν δὲ τοῖς Κορινθίοις ἐπιστέλλομεν ταῦτα, «τοῖς ἡγιασμένοις ἐν Χριστῷ»[2] καὶ δι' αὐτοῦ κεκλημένοις μετὰ πάντων ἅπαξ ἁπλῶς τῶν παρ' ὑμῖν ταύτην ἀσπαζομένων τὴν προσηγορίαν.

### Α′ Κορ. 1,7-8

**173** Λοιπὸν γάρ, φησί, πεπληρωμένους τῶν καλῶν πρὸς τὰ μέλλοντα βλέπειν προσήκει, τὴν δευτέραν παρουσίαν τοῦ Χριστοῦ ἀπεκδεχομένους, ὅτε βεβαίαν ἐστὶν ἁπάντων ὁμοῦ δέξασθαι τῶν καλῶν τὴν ἀπόλαυσιν[3]· ᾐνίξατο γὰρ διὰ τούτου ὡς ἐν τῷ βίῳ τούτῳ καθεστῶτας οὐ δυνατὸν ἀφρόντιδας εἶναι ἐπὶ τοῖς δοθεῖσιν ἤδη μεγάλα φρονοῦντας, εἴπερ δὴ τὴν δευτέραν αὐτοῦ παρουσίαν περιμένομεν ἐπὶ κρίσει τῶν βεβιωμένων ἡμῖν.

### Α′ Κορ. 1,12-13

**[877]** Τοῦτ' ἔστι κατὰ μερίδα τινὲς μὲν τὸν Χριστὸν ἔλαχον λαβεῖν, ἄλλοι δὲ ἄλλον· οἱ μὲν Κηφᾶν, οἱ δὲ Ἀπολλῶ[4], ὃς λέγεται πρῶτος ἐπίσκοπος γεγονέναι ἐν Κορινθίοις.

* Κατὰ τὴν ἔκδοσιν K. Staab, Pauluskommentare aus der griechischen Kirche (Neutestamentliche Abhandlungen XV), Münster 1933, σσ. 172-200 (J. - P. Migne, PG 66,877-897).

**1.** Πρβλ. Α′ Κορ. 1,1. **2.** Α′ Κορ. 1,2. **3.** Πρβλ. Α′ Κορ. 1,7-8. **4.** Πρβλ. Α′ Κορ. 1,12. 3,4,22.

## Α΄ Κορ. 1,17-18

Ὁ τοῦ Σωτῆρος Σταυρὸς οὐ κεκένωται[1], ὅτι μὴ ἐν ψιλοῖς ἔχει λόγος ἀλλ' ἐν αὐτῷ τῷ πράγματι τὸ σεπτόν τε καὶ ἀξιάγαστον. Πλὴν λελόγισται μωρία[2] παρά γε τοῖς οὐκ εἰδόσι τὴν ἀλήθειαν, ὅτι μὴ ἔνεστιν αὐτῷ τὸ ἐν λέξει λαμπρὸν καθάπερ ἀμέλει καὶ τοῖς παρ' αὐτοῖς λογάσιν. Ἀλλ' ἐκεῖνοι μὲν καλλιλεξίᾳ καταχρωννύντες τὸ ψεῦδος, ἀποδέουσι κατ' οὐδὲν τῶν τὰ δηλητήρια μέλιτι συγκρινόντων· οἱ δέ γε τῶν θείων κηρυγμάτων ἱερουργοὶ γεγονότες, ἁπλῆν ὥσπερ καὶ τῶν ἔξωθεν ὡραϊσμῶν ἐλευθέραν προτιθέασι τὴν ἀλήθειαν.

## Α΄ Κορ. 1,22-25

Ἀντὶ τοῦ πρὸς ἅπαντας τοὺς ἐναντίους τῆς εὐσεβείας ἡμεῖς τὸν Σταυρὸν τοῦ Χριστοῦ προβαλλόμεθα. Οἷα δὲ τὰ κατὰ τὸν Σταυρὸν ἐξηγούμενός φησιν ὅτι οἱ Ἰουδαῖοι νομίζουσι μὲν αὐτὸν ἀτιμίαν, Ἕλληνες δὲ μωρίαν, ἡμεῖς δὲ καὶ δύναμιν καὶ σοφίαν εἶναι τοῦ Θεοῦ πιστεύομεν αὐτόν[3], τῶν δι' αὐτοῦ κατορθωθέντων τὸ μέγεθος ἀκριβῶς **174** ἐπιστάμενοι· [δύναμιν δὲ Θεοῦ νῦν καὶ σοφίαν οὐ τὴν θεότητα τοῦ Μονογενοῦς, ἀλλὰ τὸ περὶ τοῦ Σταυροῦ κήρυγμα] καὶ οἱονεὶ αὐτὴν τὴν φύσιν τοῦ πράγματος εἰρῆσθαι ὑπολαμβάνοντες. [Καὶ διελέγχει γε, φασί, τοὺς Ἀρείου καὶ Εὐνομίου κακῶς ἐντεῦθεν πειρωμένους δεικνύναι σοφίαν τὸν Θεὸν Λόγον ὀνομαζόμενον. Ἐντεῦθεν γὰρ καὶ τὴν ἐκ τῆς Παροιμιακῆς φωνῆς βλασφημίαν κατασκευάζουσιν.] Δείξας δὲ ὁ θεῖος Ἀπόστολος τὸ τῆς φυσικῆς συνέσεως ἄτονον καὶ τὸ εὔηθες τῶν ἐπ' **[880]** αὐτῇ μεγαλοφρονούντων, τοῦτο δὲ ἀπὸ τῆς τῶν πραγμάτων συνεξετάσεως ἐπὶ τὸ καθελεῖν μὲν τὸν τῦφον τοῦ διὰ τοῦτο κατάρχειν καὶ πρωτεύειν βουλομένου τῶν λοιπῶν ἀποδείξας δὲ τὸ εὔηθες τῶν ἐπ' αὐτῷ μεγάλα φρονούντων, ὡς ἐν ἀγαθοῦ δὴ τίθεσθαι μοίρᾳ τὸ καὶ ἀπ' αὐτοῦ καλεῖσθαι, ἐπὶ τρίτην ἀπόδειξιν μεθίσταται μάλα ἐντρεπτικὴν τὴν ἀπ' αὐτῶν.

---

**1.** Πρβλ. Α΄ Κορ. 1,17. **2.** Πρβλ. Α΄ Κορ. 1,18. **3.** Πρβλ. Α΄ Κορ. 1,22-24.



## Α΄ Κορ. 1,26

Ἵνα εἴπῃ· ἐν ὑμῖν κατὰ τόνδε τὸν βίον.

## Α΄ Κορ. 1,28

Ἐν τῇ πρὸς Ῥωμαίους τὰ ὄντα καὶ μὴ ὄντα[1] ἑτέρως ἐνοήθη κατὰ τὴν τοῦ προκειμένου ἀκολουθίαν· ὧδε δέ «τὰ μὴ ὄντα»[2] λέγει τὰ εὐτελῆ καὶ παρὰ τοῖς πολλοῖς εὐκαταφρόνητα, «ὄντα» δὲ τὰ λαμπρὰ καὶ δυνατὰ καὶ εὐδόκιμα.

## Α΄ Κορ. 1,29

«Πᾶσα σάρξ»[3], πᾶς ἄνθρωπος σαρκικὸς ἐπὶ σαρκικοῖς ἔχων τὸ φρόνημα, οἷον πλούσιος σοφός, εἴ τις τοιοῦτος, ἵνα «μὴ καυχήσηται» ὡς διὰ τὴν ἑαυτοῦ δόξαν κατορθῶν τὸ κήρυγμα, ἀλλὰ διὰ τὴν χάριν τοῦ Θεοῦ· ἡ γὰρ καύχησις κἂν ἐπὶ καλοῖς ἔργοις γένηται, βλάπτει τοῦ καυχωμένου τὴν ψυχήν. Ὁ οὖν ἐπὶ κοσμικοῖς πλεονεκτήμασι καυχώμενος καὶ μὴ ταπεινῶν ἑαυτὸν πάντως σαρκικός ἐστιν.

## Α΄ Κορ. 2,6-7

«Σοφίαν» λέγει τὸν περὶ τοῦ Σταυροῦ καὶ τῆς ὅλης οἰκονομίας λόγον, ἥτις ἀπεκρύβη, ἣν καὶ κηρύσσομεν. «Ἄρχοντας δὲ τοῦ αἰῶνος τούτου»[4] λέγει τὰς πονηρὰς δυνάμεις. Εἰ δὲ οὗτοι ἠγνόησαν, πολλῷ μᾶλλον οἱ ἄνθρωποι δι' ὧν οἱ δαίμονες τὸν Κύριον ἐσταύρωσαν. Ἄλλοι δὲ «ἄρχοντας τοῦ αἰῶνος τούτου» Ἡρῴδην καὶ Πιλάτον φασίν.

## Α΄ Κορ. 2,12

**175** «Κόσμον»[5] γὰρ τὴν σύμπασαν ὀνομάζει κτίσιν, καθὼς ἑτέρωθί φησιν ὅτι «θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ Ἀγγέλοις καὶ ἀνθρώποις»[6].

**1.** Πρβλ. Ρωμ. 4,17. **2.** Α΄ Κορ. 1,28. **3.** Α΄ Κορ. 1,29. **4.** Α΄ Κορ. 2,6-7. **5.** Α΄ Κορ. 2,12. **6.** Α΄ Κορ. 4,9.

## Α' Κορ. 2,12-13

Οἱ «τὸ πνεῦμα τοῦ κόσμου» ἔχοντες οὐ δύνανται εἰδέναι τὰ τοῦ Θεοῦ μυστήρια, ἀλλ' ἡμεῖς οἱ «τὸ ἐκ Θεοῦ Πνεῦμα» λαβόντες· «ἃ καὶ λαλοῦμεν», τὰ ἀποκαλυφθέντα ἡμῖν καί «χαρισθέντα»[1] εἰς σωτηρίαν τῆς οἰκονομίας μυστήρια, πνευματικοῖς ἀνθρώποις τὰς πνευματικὰς διδασκαλίας σαφηνίζοντες.

## Α' Κορ. 2,13

Ἀντὶ τοῦ διὰ τῶν τοῦ Πνεύματος θαυμάτων τὴν τοῦ Πνεύματος διδασκαλίαν πιστούμεθα· τὸ γάρ «συγκρίνοντες»[2] οὐκ ἀντὶ τοῦ παρεξετάζοντες λέγει, ἀλλ' ἀντὶ τοῦ ἀποδεικνύντες, συγκρίνειν τὸ ἀποδεικνύναι εἰρηκὼς ἐπὶ τοῦ παρόντος ἐκ μεταφορᾶς τῶν τῇ συγκρίσει μείζονα τοῦ δοκιμωτέρου τὴν ἀπόδειξιν ποιουμένων.

## Α' Κορ. 3,9

«Συνεργοί»[3], ἀντὶ τοῦ ὑπουργοὶ καὶ ὑπηρέται.

## Α' Κορ. 3,14-15

Τὰ κάλλιστα τῶν διδαγμάτων οὐ συγκαταλύεται τῷ παρόντι βίῳ, μένει δὲ λαμπρότερα ἐπὶ τῶν ἔργων τότε δεικνύμενα. Ὃς ἂν οὖν ταῦτα διδάσκῃ, φησίν, ἃ καὶ τότε δύναται μένειν μειζόνως τοῦ Δεσπότου φανέντος Κυρίου, κομιεῖται τὸν ὑπὲρ τούτων πάντως μισθόν[4]· ὃς δ' ἂν τὰ ἐναντία διδάσκῃ, φησίν, ἄχρι μὲν τοῦ παρόντος βίου δύναταί πως κρατεῖν, ἀφανίζεται δὲ πάντως τῷ τῆς συντελείας καιρῷ. Οὐ μόνον ζημιοῦται τῶν ἐνταῦθα πόνων τὸν μισθὸν ὃν ἠδύνατο καρποῦσθαι πονεῖν ὑπὲρ τῶν καλλίστων αἱρούμενος, ἀλλὰ κἂν σώζηται διά τινα ἑτέραν αἰτίαν σώζειν αὐτὸν δυναμένην, οὐ διαφυγὼν τὴν διὰ πυρὸς ἐξέτασιν, ἣν ὑποσχεῖν αὐτὸν ὑπὲρ τῶν χειρίστων ἀνάγκη διδαγμάτων· τοῦτο γὰρ λέγει τό «οὕτως δὲ ὡς διὰ πυρός»[5].

---

**1.** Α' Κορ. 2,12-13. **2.** Α' Κορ. 2,13. **3.** Α' Κορ. 3,9. **4.** Πρβλ. Α' Κορ. 3,14. **5.** Α' Κορ. 3,15.



**176** Τὸ καθ' ἑξῆς τοῦ νοήματος οὕτως θέλει· οὕτως δὲ καυθήσεται «ὡς διὰ πυρός». Ἤτοι ἐπειδὴ εἶπεν· «αὐτὸς δὲ σωθήσεται»[1], τοῦτο λέγει ὅτι τῶν διδαχθέντων ἡ ἀπείθεια οὐ κατακρίνει τὸν διδάσκαλον· εἰ γὰρ καὶ μὴ μισθὸν λήψεται ἀλλὰ κατακριθήσεται, ἀλλά «σωθήσεται» πλὴν εἰ μὴ ἐπ' ἰδίοις πταίσμασι τὸ πῦρ ἀποκατασχεῖ παριόντα. Οὕτως οὖν, φησί, σωθήσεται, οὐχ ὡς πάντως διαφευξόμενος τὴν δίκην, ἀλλ' ὡς ἐπὶ τοῖς ἰδίοις ἔργοις διὰ πυρὸς δοκιμασθησόμενος.

## Α' Κορ. 3,16

Ὁ εἰς τὸν Χριστὸν πιστεύων διὰ τῆς τοῦ «λουτροῦ παλιγγενεσίας»[2] ἔνοικον δέχεται τὸ Ἅγιον Πνεῦμα καὶ πνευματικός ἐστιν. Ἐὰν δὲ δουλεύσωσι κοσμικοῖς πάθεσιν, κατὰ τοῦτο «σαρκικοί» εἰσίν. Φησὶν οὖν ὅτι «πνευματικοί»[3] γεγονότες κατὰ τὴν ὁμολογίαν, σαρκικῶς ζῆτε τὸ ἐνοικῆσαν ἐν ὑμῖν Ἅγιον Πνεῦμα ὑβρίζοντες. Οὕτως οὖν καὶ Πνεύματος Ἁγίου τυχόντες «ναὸς Θεοῦ»[4] εἰσίν, καὶ κοσμικοῖς ἐνεχόμενοι καλοῦνται «σαρκικοί», καὶ οὐ μάχεται ἑαυτῷ ὁ Ἀπόστολος τοὺς αὐτοὺς καὶ τοῦ Θεοῦ καλῶν καὶ σαρκικοὺς ὀνομάσας.

## Α' Κορ. 3,18-19

Ὥσπερ εἶπεν ὅτι «τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν»[5], οὕτως ἐκ τοῦ ἀντιστρόφου «τὴν σοφίαν τοῦ κόσμου μωρίαν εἶναι παρὰ τῷ Θεῷ»[6] φησίν, ἐπειδὴ διὰ δεινότητος λόγων τὴν φύσιν τῶν ὄντων εὑρεῖν προσεδόκησαν. Διό «εἴ τις δοκεῖ εἶναι σοφός»[7], ἐλέσθω μᾶλλον εἶναι μωρὸς κατὰ Θεόν, ὅτι «τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν»[8].

## Α' Κορ. 3,21

«Πάντα (ὑμῶν)» ἀντὶ τοῦ δι' ὑμᾶς. Ἢ «πάντα ὑμῶν»[9] εἶπεν κατὰ τὸ ἔχειν ἐξουσίαν αἱρεῖσθαι ὃ βουλόμεθα ἢ τὰ βελτίω ἢ τὰ χείρω.

---

**1.** Α' Κορ. 3,15. **2.** Τίτ. 3,5. **3.** Α' Κορ. 3,1,3. **4.** Α' Κορ. 3,16. **5.** Α' Κορ. 1,25. **6.** Α' Κορ. 3,19. **7.** Α' Κορ. 3,18. **8.** Α' Κορ. 1,25. **9.** Α' Κορ. 3,21.

### Α′ Κορ. 4,6

Καὶ εἰς Κηφᾶν[1] μετασχηματίσας[2] ἄνω, ἀλλὰ ὧδε οὐκ ἐμνήσθη αὐτοῦ αἰδούμενος τὸν ἄνδρα.

### Α′ Κορ. 4,7

**177** «Διακρίνει»[3]· διερευνᾷ καὶ ἀντεξετάζει πρὸς ἄλλον.

### Α′ Κορ. 4,8

Τοῦτ' ἔστιν ἡμῶν μηδέπω βασιλευσάντων ὑμεῖς ἐφθάσατε βασιλεῦσαι[4], ὁπότε καὶ κριταὶ τῶν ἄλλων κατέστητε· ἐν γὰρ τῷ καιρῷ τῆς Βασιλείας τῶν Οὐρανῶν «οἱ Ἅγιοι τὸν κόσμον κρινοῦσιν»[5].

### Α′ Κορ. 4,10

Αἱρούμεθα «ἡμεῖς» εἶναι «μωροὶ διὰ Χριστόν», ἵνα «ὑμεῖς» γένησθε «φρόνιμοι ἐν Χριστῷ»[6].

### Α′ Κορ. 4,12-13

Τὸ γὰρ ἐπὶ τοσούτοις μηδεμίαν ἔχειν ἔξωθεν παραμυθίαν ἀλλὰ καμάτῳ πορίζεσθαι τὴν ἐφήμερον τροφήν, ἀνύποιστον ἐποίει τῶν κακῶν τὴν πεῖραν. «Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν»[7]. «Λοιδορίαν» λέγει τὰς εἰς αὐτὸν ὕβρεις, «βλασφημίαν» δὲ τὰ παρὰ τῶν ἐναντίων λεγόμενα ἐπὶ διαβολῇ βίου· ὅθεν ἐπὶ μὲν τοῦ πρώτου τό «εὐλογοῦμεν» τέθεικεν ἀντὶ τοῦ εὐχόμεθα ὑπὲρ τῶν ὑβριζόντων, ἐπὶ δὲ τοῦ δευτέρου «παρακαλοῦμεν» ἀντὶ τοῦ ἠπίως τοῖς διαβάλλουσι διαλεγόμεθα παρακαλοῦντες μὴ καταψεύδεσθαι ἡμῶν.

Τό «περίψημα» ἐκ μεταφορᾶς εἴρηται τῶν τὰς **[881]** τραπέζας μετὰ τὸν τοῦ φαγεῖν καιρὸν ἀποψώντων καὶ ἀποῤῥιπτόντων ὡς περιττὰ ψήγματα.

**1.** Πρβλ. Α′ Κορ. 3,22. **2.** Πρβλ. Α′ Κορ. 4,6. **3.** Α′ Κορ. 4,7. **4.** Πρβλ. Α′ Κορ. 4,8. **5.** Α′ Κορ. 6,2. **6.** Α′ Κορ. 4,10. **7.** Α′ Κορ. 4,12-13.



«Διὰ τὸν Χριστόν»[1] ταπεινοῦντες ἑαυτούς, ἐσμὲν πάντων ἀπόψημα καὶ ἀπόμαγμα, εὐτέλεια καὶ περιύβρισμα.

### Α′ Κορ. 4,14

«Ἐντρέπων»[2] ὑβρίζων.

### Α′ Κορ. 4,18-19

Ἐπειδὴ ἦσαν «τινές» ἐπὶ σοφίᾳ κοσμικῇ «πεφυσιωμένοι», ἐκ προοιμιῶν διαβάλλει τούτους καὶ φανερώτερον αὐτοὺς σκώπτει ὡς καταπατοῦντας τοὺς κατὰ Θεὸν σοφούς. Ἐπεὶ οὖν, φησίν, οὕτως διετέθη**178**σαν «ὡς ἐμοῦ μὴ ἐρχομένου» καὶ ἐλέγξοντος αὐτούς, καὶ τὴν τούτων ἀσθενῆ καὶ ἀνενέργητον σοφίαν, ἔφη, σεμνύνονται· «οὐ γὰρ λόγον» αὐτοὺς ἀλλὰ δύναμιν σοφίας ἀπαιτήσειν «ἐλεύσομαι ταχέως»[3], φησίν.

### Α′ Κορ. 5,5

Ἐδυσώπησε τῇ μνήμῃ τοῦ Χριστοῦ ὥστε μὴ τῇ χάριτι τῇ πρὸς ἐκεῖνον παριδεῖν τὸ δέον· «παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[4]. Τὸ μέν «παραδοῦναι τῷ σατανᾷ» οὐχ ὡς αὐτὸς τοῦτο γενέσθαι ὁρίζων εἶπεν, ἀλλ' ὡς ἂν τῷ τῆς Ἐκκλησίας ἐξεωθῆναι διὰ τῆς τοῦ Θεοῦ ἀλλοτριώσεως ὑπὸ τὴν τοῦ σατανᾶ γενομένου ἐξουσίαν· ἡ μὲν γὰρ παρ' αὐτοῦ τιμωρία ἦν τὸ τῆς Ἐκκλησίας αὐτὸν ἐξῶσαι, ἐκ δὲ τούτου πάντως ἐκεῖνο συνέβαινεν. Ὁ μέντοι Ἀπόστολος ἀντὶ τῆς τιμωρίας τὸ ἀποβαῖνον εἶπεν ὥστε φοβῆσαι μᾶλλον. Ἐξεῶ δέ, φησίν, αὐτόν, οὐκ ἀλλοτριῶσαι πάντη βουλόμενος, ἀλλ' ‹ἵνα› τοῦ οἰκείου αἰσθόμενος πλημμελήματος μεταμελείᾳ τινὶ κατὰ τὸν παρόντα βίον συντρίψας ἑαυτὸν δυνηθῇ τῆς μελλούσης σωτηρίας ἄξιον ἑαυτὸν καταστῆσαι. «Ὄλεθρον εἶπε σαρκός» τὴν κατὰ τὸν παρόντα βίον διὰ τῆς μεταμελείας συντριβήν. Καὶ ἐπειδὴ ἡ ἀνάστασις ἡμῶν τῇ τοῦ

**1.** Α′ Κορ. 4,10. **2.** Α′ Κορ. 4,14. **3.** Α′ Κορ. 4,18-19. **4.** Α′ Κορ. 5,5.

Πνεύματος δυνάμει γενέσθαι μέλλει, πολλάκις ἐπὶ τῆς ἀναστάσεως καὶ τῆς ἀθανασίας τὴν τοῦ Πνεύματος λαμβάνει σημασίαν· οὕτως ἐν τῇ πρὸς Ῥωμαίους φησίν· «ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ' ἐν Πνεύματι»[1], ἀντὶ τοῦ ἔξω τῆς τοῦ θανάτου γεγονότες ἀποφάσεως, ἐν ἐλπίδι τῆς ἀθανασίας καθεστήκατε.

Ὁμωνύμως τῷ Πνεύματι καὶ τὸ πνευματικὸν χάρισμα λέγεται οὗ τις τυγχάνει ἐν «τῷ λουτρῷ τῆς παλιγγενεσίας»[2], ὅπερ καταφρονηθὲν σβέννυται. Διό φησιν· δεῖ μετανοίας, ἵνα κἂν οὕτως ἐπαναδράμῃ αὐτῷ τὸ πνευματικὸν χάρισμα, καὶ διασωθῇ αὐτὸς ἐν ἡμέρᾳ κρίσεως.

## Α' Κορ. 5,7

«Παλαιάν» τὴν ἁμαρτίαν λέγει ἢ «ὁ παλαιός» συζῇ «ἄνθρωπος»[3]· «ζύμην»[4] δὲ ὅτι ἐξ ὀλίγου συνεξομοιοῖ τοὺς πλησιάζοντας.

## Α' Κορ. 5,8

Ἀκολούθως καὶ νῦν ἐχρήσατο τῇ ἐπαγωγῇ μετὰ τὴν ἀπόφασιν· ὡς γὰρ παρὼν καὶ ἐξώσας αὐτὸν οὕτω πρὸς τοὺς παρόντας λοιπὸν **179** διαλέγεται καί φησιν· ὁ τῷ κακῷ συνημμένος κατὰ διάθεσιν ἀναγκαίαν δέχεται τῷ χρόνῳ τὴν πρὸς αὐτὸν κοινωνίαν. Καὶ ἀκολουθῶν τῷ παραδείγματι, ἀπὸ τῶν πραγμάτων τὴν πρὸς αὐτοὺς ποιεῖται παραίνεσιν.

## Α' Κορ. 6,1-3

Ζητήσειεν ἄν τις τίνος ἕνεκεν ἐν τῇ πρὸς Ῥωμαίους πᾶσαν ἐξουσίαν ἀπὸ Θεοῦ[5] φάσκων εἶναι καὶ σφόδρα γε ἐπαίρων, ἐνταῦθα «ἀδίκους» αὐτοὺς ἐκάλεσε καθ' ὅλου. Ὅτι ἐκεῖ μὲν περὶ τοῦ δεῖν τὰ ὀφειλόμενα κἀκείνους πληροῦν διαλεγόμενος, ὑπὸ Θεοῦ κἀκεῖνα εἰκότως τετάχθαι λέγει αὐτὰ καθ' αὐτὰ ἀπὸ τοῦ σκοποῦ καθ' ὃν τέτακται κρίνων αὐτά· ἐνταῦθα δὲ πρὸς τούς... διὰ

**1.** Ρωμ. 8,9. **2.** Τίτ. 3,5. **3.** Ρωμ. 6,6. Κολ. 3,9. **4.** Α' Κορ. 5,7. **5.** Πρβλ. Ρωμ. 13,1.



τὸ βούλεσθαι τῷ τε χρόνῳ καὶ τῇ περιουσίᾳ καὶ τῇ δυναστείᾳ συντρίβειν αὐτούς· πρὸς γὰρ οὐδὲν τούτων οἱ πένητες ἐξαρκεῖν δυνάμενοι, οὐ ῥᾳδίως τοῦ δικαίου τυγχάνειν δύνανται. «Ἀδίκους» ἐκάλεσεν ἀπὸ τῆς τούτων γνώμης, ἀντὶ τοῦ καταφεύγειν ἐπ' ἐκείνους παρ' οἷς δύνῃ συγκαλύψαι τὴν κατὰ τοῦ πένητος ἀδικίαν διὰ πολλῶν· ὅθεν καὶ καλῶς εἶπεν «τολμᾷ». «Οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσιν;»[1]. Παραιτεῖσθε, φησί, τούτους ὑμεῖς, ὧν ἡ ἀρετὴ πάντα κρίνει τὸν κόσμον, οὐ κατ' ἐξέτασιν ἀλλὰ κατὰ παράθεσιν.

**[884]** Ὑφ' ὧν ἅπας ὁ κόσμος κρίνεται, χρημάτων ἀμφισβήτησις ὑπὸ τούτων οὐ δύναται διαλύεσθαι; Ἐντρεπτικώτατον δὲ μάλιστα τό «εἰ ἐν ὑμῖν», συμπεριλαβὼν καὶ τοὺς παραιτουμένους, ὡς ἂν αὐτῶν ἑαυτοὺς παραιτουμένων ἐν τῷ παραιτεῖσθαι τοὺς ὁμοπίστους. Κατ' αὔξησιν δέ φησιν· «οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν;»[2]. Ὡς γὰρ μεῖζον τοῦτο ἐπήγαγεν. Ἐπὶ μὲν οὖν τοῦ κόσμου ἐλάχιστα «κριτήρια» τὰ περὶ τῶν χρημάτων ἐκάλεσεν, ὡς ἄγαν ὄντα μικρὰ τῇ πρὸς ἐκεῖνον συγκρίσει, ἐπὶ δὲ τῶν Ἀγγέλων «βιωτικά»[3], ὡς ἂν ἐκείνων οὐ κατὰ τὸν βίον τοῦτον ὄντων.

Οὐκ ἐβούλετο αὐτοὺς παρὰ τοῖς ἔξω δικάσασθαι, ἵνα μὴ τὰ πταίσματα τῶν σεμνότητα καὶ δικαιοσύνην διδασκομένων σκάνδαλον τοῖς ἔξω γένηται.

## Α' Κορ. 6,4-5

«Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ Ἐκκλησίᾳ τούτους καθίζετε»[4]. Καὶ ἵνα μὴ δοκῇ κελεύειν αὐτοῖς ἀληθῶς τοὺς ἁπάντων εὐτελεστέρους ἐπιζητεῖν **180** οἵτινές εἰσιν, καὶ τούτους ἐπὶ τῶν τοιούτων αἱρεῖσθαι κριτάς, «πρὸς ἐντροπὴν ὑμῖν, φησί, λέγω»[5]. Τίνες δὲ οἱ κρίνειν ὀφείλοντες, ἐπάγει. Πρὸς τὸ ἐντρέψαι ὑμᾶς καὶ ἀγαγεῖν εἰς διόρθωσιν ταῦτα ἐγκαλῶν.

**1.** Α' Κορ. 6,1-2. **2.** Α' Κορ. 6,3. **3.** Α' Κορ. 6,4. **4.** Ἔνθ. ἀν. **5.** Α' Κορ. 6,5.

### Α′ Κορ. 6,11

Ταῦτα γάρ, φησίν, εἰ καὶ πρότερον ἐπράττετε, ἀλλὰ νῦν τετυχηκότες ἁγιασμοῦ τῇ τοῦ Πνεύματος μετουσίᾳ διὰ τῆς ἐπὶ τὸν Χριστὸν πίστεως[1], μετὰ πάσης ἀποφεύγειν προσήκει τῆς σπουδῆς.

### Α′ Κορ. 6,12

Ἀλλὰ τοῦτο φῄς, φησίν, ὅτι «πάντα μοι ἔξεστιν». Εἶτ' αὐτὸς ἐπιφέρει· «ἀλλ' οὐ πάντα συμφέρει»[2], οὐχ ἀνελὼν τὸ ἐξεῖναι τέως ἀλλὰ τὸ [μὴ] δεῖν τῇ ἐξουσίᾳ κεχρῆσθαι· ἐπειδὴ γὰρ «οὐ πάντα συμφέρει», δῆλον ὡς οὐ πᾶσι χρηστέον ἀλλὰ τοῖς ὠφελοῦσι μόνοις. Εἶτα πάλιν τὴν ἀντίθεσιν τεθεικὼς ἑτέρως αὐτὴν μεθώδευσεν· «πάντα μοι ἔξεστιν, ἀλλ'οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος»[3]. Ὁρῶ γάρ, φησίν, οὐδὲ τὴν ἐξουσίαν μοι σωζομένην ἀκέραιον, ἄνπερ δὴ πᾶσιν ἁπλῶς ὑπάγωμαι, μὴ πρὸς τὸ συμφέρον τὴν χρῆσιν αὐτῶν ποιούμενος. Οὕτω δὲ κατὰ συγχώρησιν τοῦ πάντα ἐξεῖναι τὸ καὶ πάντα πράττειν ἀνελὼν δή. Οὕτω δείκνυσιν ὅτι οὐδὲ πάντα ἔξεστιν, ἀλλ' ὅσα μὴ νόμῳ τινὶ ποιεῖν κεκωλύμεθα, κατὰ παράθεσιν τινὰ μὲν ἐν ἡμῖν, τινὰ δὲ οὐκ ἐν ἡμῖν ἀποφαίνων.

«Πάντα μοι ἔξεστιν», ἀλλ' οὐ συμφέρει καταχεχρῆσθαι τῇ ἐξουσίᾳ[4], οὐδὲ ἐξουσιάζεσθαι ὑπὸ ἡδονῆς βρωμάτων, ἀλλ' αὐτὸν καταχρατεῖν γαστρός. Κακῶς μέντοι τινὲς τό «πάντα μοι ἔξεστιν» ἐπὶ τῶν προκειμένων ἁμαρτημάτων ἐδέξαντο ἅπερ οὐ μόνος ὁ θεῖος λόγος ἀλλὰ καὶ οἱ Ρωμαίων νόμοι ἀπαγορεύουσιν.

### Α′ Κορ. 6,13-14

Οὐ δὲ συγκαταλύεσθαι τῷ παρόντι βίῳ τὸ ἡμέτερον νομίζομεν σῶμα· ὁ γὰρ τὸν Χριστὸν ἀναστήσας καὶ ἡμᾶς ἀναστήσει πάντως. Ὥσπερ γὰρ ἐπὶ τοῦ ἐσθίειν τὴν ἐξουσίαν ἔδωκεν ἀπό τε τοῦ πρὸς τοῦτο γεγενῆσθαι καὶ ἀπὸ τοῦ παύεσθαι πάντως, οὕτως ἐπὶ τοῦ πορνεύειν τὸ μὴ ἐξεῖναι συνέστησεν ἀπό τε τοῦ μὴ πρὸς τοῦτο γε-

1. Πρβλ. Α′ Κορ. 6,11. 2. Α′ Κορ. 6,12. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Α′ Κορ. 9,18.



γενῆσθαι καὶ ἀπὸ τοῦ τὸ σῶμα μετὰ τὴν ἀνάστασιν ἔσεσθαι πάλιν[1].

### Α′ Κορ. 6,15

**181** «Μέλη Χριστοῦ»[2] πάντες ὑμεῖς, οἱ διὰ τῆς τοῦ Πνεύματος ἀναγεννήσεως τὴν πρὸς αὐτὸν δεξάμενοι συνάφειαν, ἐλπίδι τοῦ καὶ ἀναστήσεσθαι ὁμοίως αὐτῷ.

### Α′ Κορ. 6,16-17

Εἰ ὁ συζῶν γυναικὶ εἰς τῇ αὐτῇ λογίζεται, δῆλον ὅτι καὶ ὁ συζῶν τῇ πόρνῃ εἰς ἓν αὐτῇ σῶμα λογισθήσεται καὶ ὁ συζῶν τῷ Κυρίῳ εἰς ἓν αὐτῷ πνεῦμα λογισθήσεται[3].

### Α′ Κορ. 6,18

Τὰ μὲν λοιπά, φησίν, ἁμαρτήματα ἕτερον βλάπτειν δοκεῖ, τοῦτο δὲ πρὸ τῶν λοιπῶν πάντων τὸν διαπραττόμενον· τὸ οἰκεῖον γὰρ οὗτος μολύνει σῶμα.

Ὁ μὲν ἄλλους ἀδικῶν οὐκ εἰς τὸ ἑαυτοῦ σῶμα ἁμαρτάνει, «ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει»[4]· ἄτοπον δὲ μηδὲ ἑαυτὸν φείδεσθαι. Ἴσως δὲ καὶ ὡς κατερώτησιν ὁ λόγος εἴρηται. Διό φησιν· ἴσθι μὴ καλῶς ἀποφαινόμενος ὁ λέγων· «πᾶν ἁμάρτημα ἔξω τοῦ σώματος» — εἰς γὰρ ἄλλον γίνεται — , «ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει»[5] καὶ ἐξουσίαν ἔχει; Οὐκέτι γὰρ σὸν ἴδιον τὸ σῶμα τοῦ πιστεύσαντος ἀλλὰ τοῦ Θεοῦ.

### Α′ Κορ. 6,20

Τῷ αἵματι αὐτοῦ ὁ Κύριος ἐξηγόρασεν ἡμᾶς ἐκ τῆς δουλείας τῆς ἁμαρτίας καὶ ἤγαγεν εἰς τὴν ἐλευθερίαν τῆς δικαιοσύνης. Διὸ πρέπον τιμῆσαι τῇ σωφροσύνῃ τὸν ἀγοράσαντα Κύριον.

1. Πρβλ. Α′ Κορ. 6,13-14. 2. Α′ Κορ. 6,15. 3. Πρβλ. Α′ Κορ. 6,16-17. 4. Πρβλ. Α′ Κορ. 6,18. 5. Ἔνθ' ἀν.

## Α' Κορ. 7,5

**[885]** «Ἀχρασίαν»[1] οὐ τὴν ἀσέλγειαν λέγει, ἀλλὰ τὸν κρατεῖν οὐ δυνάμενον εἰς πορνείαν καταφέρεσθαι.

## Α' Κορ. 7,8

Οὐκ εἶπεν αὐτὸ γνώμης κατόρθωμα ἀλλὰ θείας χάριτος ἔργον, εἰκότως· τὸν γὰρ ἐναντία τῇ φύσει κατορθοῦν αἱρούμενον οὐ τῆς ἡμετέρας δυνάμεως ἀλλὰ τοῦ τῆς φύσεως ποιητοῦ. Οὕτω καὶ ὁ Κύριος· **182** «οὐ πάντες», φησί, «χωροῦσι τὸν λόγον, ἀλλ' οἷς δέδοται»[2], δόσιν αὐτὸ καὶ χάριν καὶ αὐτὸς προσειπών.

## Α' Κορ. 7,14

Κατὰ τὸ ἡμέτερον δηλονότι ἀγόμενον βούλημα «ἅγιον» εἶναι δύναται.

«Ἡγίασται»[3] ἀντὶ τοῦ κεκάθαρται. Ταῦτα δὲ εἶπεν, ἐπειδὴ ἀμφέβαλλον μὴ μιαίνοντες τῇ τῶν ἀπίστων κοίτῃ οἱ ἄπιστοι.

## Α' Κορ. 7,17

Περιττὸν γὰρ οἴεσθαι ταῦτα ἐμποδὼν αὐτῷ πρὸς εὐσέβειαν γίνεσθαι, ἐν οἷς τὸ πρότερον ὢν κληθῆναι πρὸς τὴν πίστιν οὐκ ἐκωλύθη· τοῦτο γὰρ σημαίνει τό «ὡς κέκληκεν». Καὶ δεικνὺς τὸ τοῦ παραγγέλματος ἀναγκαῖον· «καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις διατάσσομαι»[4].

## Α' Κορ. 7,18

Τὴν ἀφῃρημένην σάρκα οὐ δήπου «ἐπισπᾶσθαι»[5] δυνατόν. Ὁ μακάριος δὲ Ἐπιφάνειος ὁ Κύπρου δυνατὸν ἔφη τοῦτο γίνεσθαι· τὸ δὲ ὅπως τοὺς βουλομένους εἰδέναι παραπέμψωμεν τοῖς ὑπ' αὐτοῦ εἰρημένοις ἐντυχεῖν.

---

**1.** Α' Κορ. 7,5. **2.** Ματθ. 19,11. **3.** Α' Κορ. 7,14. **4.** Α' Κορ. 7,17. **5.** Α' Κορ. 7,18.



## Α' Κορ. 7,25

Δηλονότι καὶ περὶ τούτου γεγραφηκόσιν αὐτοῖς ἀποκρίνεται, ἀμφότερα πάντως μαθεῖν βουληθέντων αὐτῶν, καὶ εἰ τοὺς ἐν γάμῳ προσῆκεν ἀλλήλων ἀπέχεσθαι, καὶ εἰς τοὺς μηδέπω πειραθέντας μεῖναι ἐπὶ τοῦ προτέρου σχήματος. Ὅταν οὖν εἴπῃ· «περὶ τῶν παρθένων»[1], δηλονότι περὶ τῆς παρθενίας λέγει, τὰ ὅμοια καὶ ἐπὶ τούτου περί τε τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν φθεγγόμενος.

## Α' Κορ. 7,26

Παρενθεὶς τὴν καθ' ὅλου παραίνεσιν ἐπὶ τὴν οἰκείαν ἀκολουθίαν ἀνατρέχει, ἑρμηνεύων τό «διὰ τὴν ἐνεστῶσαν ἀνάγκην»[2], καὶ τό «θλίψιν τῇ σαρκὶ ἕξουσιν»[3].

## Α' Κορ. 7,28-29

**183** Διὰ τὰς ἐν τῷ κόσμῳ τούτῳ περιστάσεις καὶ μερίμνας τὰς περὶ τὴν γυναῖκα καὶ τὴν οἰκίαν.

Ἀλλὰ καὶ ἡδονήν, φησίν, ἀλλὰ καὶ ταύτην ὅρα πῶς ἀνέστειλε τῇ βραχύτητι τοῦ καιροῦ, εἰπών· «ὁ καιρὸς συνέσταλται»[4], τοῦτ' ἔστιν ἀποδημεῖν κελευόμεθα καὶ ἐξιέναι λοιπόν. Σὺ δὲ ἐνδοτέρω τρέχεις, καὶ οὐ δεῖ καὶ τοσοῦτον ὄγκον ἐπιφέρεσθαι.

«Συνεστάλθαι» λέγει ὡς πρὸς τοὺς παλαιοὺς οἷς ὁ βίος ἀμφὶ τὰ ἐνναχόσια ἔτη ἐγίνετο.

## Α' Κορ. 7,31

«Ὡς μὴ καταχρώμενοι»[5], ἀντὶ τοῦ μὴ ὡς παραχρώμενοι μηδὲ ὡς κατατρυφῶντες.

## Α' Κορ. 7,33

Εἴτε γὰρ χαρὰ σωματική, εἴτε ἄλλη τις φροντὶς βιωτική, πάντως ἀπάγει τοῦ Θεοῦ καὶ περὶ αὐτὴν ἀσχολεῖ.

---

**1.** Α' Κορ. 7,25. **2.** Α' Κορ. 7,26. **3.** Α' Κορ. 7,28. **4.** Α' Κορ. 7,29. **5.** Α' Κορ. 7,31.

## Α′ Κορ. 7,36

Εἴ τις εὐθράσει τῇ τῆς θυγατρὸς προαιρέσει, φοβεῖται δὲ μὴ «ὑπέρακμος» γενομένη διαφθαρῇ καὶ ἀσχημοσύνην αὐτῷ ἐνέγκῃ, ἐκδότω αὐτήν, εἰ ἀνάγκη ἐστίν· οὐ γὰρ ἁμαρτάνει. Τὸ γάρ «καὶ οὕτως ὀφείλει γίνεσθαι»[1], ἀντὶ τοῦ καὶ εἰ ἀνάγκη ἐστίν.

## Α′ Κορ. 7,37

Καλῶς παρέθηκε τό «μὴ ἔχων ἀνάγκην»[2]· ἐκχωρεῖ γὰρ πολλάκις προειλῆφθαί τινα μνηστείας ἐγγύην, ὑφ᾽ ἧς ἐπὶ τὴν ἔκδοσιν συνωθεῖται τῆς οἰκείας παιδός. Ἔστιν δὲ ὅτε καὶ οἰκέτης ὢν φυλάττειν μὲν βούλεται, οὐ δύναται δὲ τῷ τὸν δεσπότην πρὸς γάμον ἐκδοῦναι βούλεσθαι.

## Α′ Κορ. 7,39

«Μόνον ἐν Κυρίῳ»[3] τὴν εὐσέβειαν φυλάττουσα, ἐὰν ἀπίστῳ συνοικήσῃ.

## Α′ Κορ. 8,5

Καλλίστη ἡ προσθήκη τοῦ «λεγόμενοι»· διὰ γὰρ τοῦτο τὸ ψευδωνύμως λέγεσθαι, οὐ τὸ ἀληθῶς εἶναι δηλοῦται. Ὥσπερ οὖν «καὶ εἰσὶ **184** λεγόμενοι θεοί»[4] παρὰ τοῖς πλανωμένοις, ἀλλὰ παρ᾽ ἡμῖν τοῖς ἔχουσι τὴν γνῶσιν[5] εἷς ἐστιν ὁ Θεός[6], καὶ εἷς ὁ Κύριος.

## Α′ Κορ. 8,10

Οἱ μὴ ὄντες τέλειοι[7] ὁρῶντές σε ἀδιαφόρως ἐσθίοντα, ἐσθίουσι μὲν καὶ αὐτοί· σαθροὶ δὲ ὄντες ὡς εἰδωλόθυτον ἐσθίουσι[8] καὶ βλάπτονται.

**1.** Α′ Κορ. 7,36. **2.** Α′ Κορ. 7,37. **3.** Α′ Κορ. 7,39. **4.** Α′ Κορ. 8,5. **5.** Πρβλ. Α′ Κορ. 8,1. **6.** Πρβλ. Α′ Κορ. 8,4. **7.** Πρβλ. Α′ Κορ. 2,6. **8.** Πρβλ. Α′ Κορ. 8,10.



## Α′ Κορ. 8,13

Καταφρονεῖτε οὖν βρώματος κἂν μὴ ἱερόθυτον ᾖ· οὔτε γὰρ μὴ φαγόντες ἔλαττόν τι ἕξομεν παρὰ Θεῷ, οὔτε φαγόντες περισσοτέρου τινὸς ἀπολαύσομεν.

Τοῖς ἐρωτῶσί με διὰ τί οὐκ ἐσθίω εἰδωλόθυτον Ἀπόστολος ὤν, τοῦτο ἀπολογοῦμαι· ἵνα μὴ ἄλλους σκανδαλίσω[1]. Καὶ γὰρ ἔχων ἐξουσίαν καί «ἐκ τοῦ Εὐαγγελίου» ἐσθίειν καὶ πίνειν ὡς «καὶ ὁ Κύριος διέταξεν»[2], καί «γυναῖκα περιάγειν»[3], οὐδὲν τούτων ποιῶ[4] πανταχοῦ συμπνέων τῷ Εὐαγγελίῳ.

## Α′ Κορ. 9,14

Ἔνθα αὐτοὺς ἀποστέλλων ἔλεγεν· «μή» λάβητε «πήραν» μήτε ἄρτους μήτε ἀργύριον, ἀλλ᾽ ὅπου «ἂν εἰσέλθητε», ἐκεῖ «μένετε ἐσθίοντες τὰ παρατιθέμενα ὑμῖν»[5]. Τότε τοῦτο παρήγγειλεν.

## Α′ Κορ. 9,17-18

Διαστικτέον εἰς τό «ἄκων». Φησὶ δέ· εἰ μέν «ἑκών» ἦλθον εἰς τὸ εὐαγγελίσασθαι, εἶχον μισθόν. Ἐπειδὴ δέ «ἄκων τοῦτο» ἐπετάγην, οὐ μόνον οὐκ ἔστιν μοι διὰ τοῦτο μισθός, ἀλλὰ καὶ τιμωρία· ὑπεύθυνός εἰμι, ἐὰν μὴ ποιήσω τὸ ἐπιταχθέν. Διό «οὐ κατακέχρημαι τῇ ἐξουσίᾳ μου»[6], εἰ δέδωκεν ὁ Κύριος τό «ἐκ τοῦ Εὐαγγελίου ζῆν»[7], ἵνα διὰ τοῦ μὴ λαμβάνειν μισθὸν ἐμαυτῷ περιποιήσωμαι.

## Α′ Κορ. 9,20,22

«Ὑπὸ νόμον»[8] αὐτὸν λέγειν ‹νομίζω› τοὺς παρὰ Ἰουδαίοις προσηλύτους, «ἀσθενεῖς»[9] δὲ τοὺς ἀπὸ Ἰουδαίων πεπιστευκότας καὶ ἔτι δι᾽ ἀσθένειαν λογισμῶν ταῖς νομικαῖς παρατηρήσεσι κρατουμένους.

**1.** Πρβλ. Α′ Κορ. 8,13. **2.** Α′ Κορ. 9,13-14. Πρβλ. Λουκ. 10,7. **3.** Α′ Κορ. 9,5. **4.** Πρβλ. Α′ Κορ. 9,15. **5.** Λουκ. 10,4-8. **6.** Α′ Κορ. 9,17-18. **7.** Α′ Κορ. 9,14. **8.** Α′ Κορ. 9,20. **9.** Α′ Κορ. 9,22.

### Α' Κορ. 9,21

**185** Θαυμαστῶς ἐπήγαγεν ὅτι «Χριστοῦ» ἐστίν «ἔννομος»[1], ἵνα μὴ νομισθῇ λέγειν ὅτι τὸν Μωυσέως φυλάττει νόμον.

### Α' Κορ. 9,24-25

«Οἱ ἐν σταδίῳ τρέχοντες»[2] καίπερ εἰδότες ὅτι εἷς μόνος στεφανωθήσεται, οἱ δὲ λοιποὶ κενοὺς ὑποστήσονται πόνους, ὅμως τρέχουσι καὶ ἀγωνίζονται, εἰ μὴ ἀποτευξόμενοι τῶν πόνων κἂν ...ἐστὲ πολλοί, οὐκ ὀφείλετε ἕνεκεν «ἀφθάρτου στεφάνου» ἀγωνίσασθαι, ὅπου γε οἱ ἐν σταδίῳ ἕνεκεν «φθαρτοῦ στεφάνου»[3] πάντα ὑφίστανται;

### Α' Κορ. 9,26

Εἰ «οὐκ ἀέρα δέρει»[4], δηλονότι τὸν πονηρὸν καὶ τὰς δυνάμεις αὐτοῦ· πλήττεται δὲ ὁ διάβολος διὰ τῶν κατορθωμάτων τῆς ἀρετῆς, εὐλαβείας, σωφροσύνης καὶ δικαιοσύνης καὶ ὅσα ὅμοια.

### Α' Κορ. 10,2-4

Τύπος «ἡ θάλασσα» τοῦ ἐν ὕδατι Βαπτίσματος[5], ἡ δέ «νεφέλη»[6] τοῦ ἐν Πνεύματι. Μωυσῆς δὲ αὐτοῦ τοῦ Κυρίου ὡς ἀρχηγὸς τοῦ τυπικοῦ Βαπτίσματος ὡς ὁ Χριστὸς τοῦ ἀληθινοῦ. «Ἐβαπτίσθησαν οὖν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ εἰς τὸν Μωυσῆν»[7]. Ἐπειδὴ δὲ εἶπεν «ἀκολουθούσης πέτρας»[8], οὐ τοῦτό φησιν ὅτι ἀληθῶς πέτρα αὐτοῖς ἠκολούθησεν, ἀλλ' ὅτι ἡ παρὰ τοῦ Χριστοῦ δύναμις αὐτοῖς ἠκολούθει παρέχουσα αὐτοῖς ἐκ πέτρας πιεῖν. «Πνευματικόν»[9] δὲ εἶπεν τὸ μάννα καὶ τὸ πόμα[10], ὅτι κατὰ Ἁγίου Πνεύματος ἐνέργειαν αὐτοῖς ἐδίδοτο, οὐχ ὅτι πνευματικοὺς τοὺς μεταλαμβάνοντας ἐμποιοῦν.

---

**1.** Α' Κορ. 9,21. **2.** Α' Κορ. 9,24. **3.** Α' Κορ. 9,25. **4.** Α' Κορ. 9,26. **5.** Πρβλ. Ἰω. 1,26. **6.** Α' Κορ. 10,1. **7.** Α' Κορ. 10,2. Πρβλ. Ἐξ. 13,21. 14,22. **8.** Α' Κορ. 10,4. **9.** Α' Κορ. 10,3-4. **10.** Πρβλ. Ἐξ. 16,4,35. 17,6.



Ἐκ τῶν ἀμφιβαλλομένων τῆς παλαιᾶς τύπος ἦν τῶν νέων τὰ παλαιά· καί «σκιά» μὲν ὁ νόμος Μωυσέως, «σῶμα»[1] δὲ ἡ χάρις. Ἐπειδὴ τοίνυν ἐδίωκον τοὺς Ἑβραίους Αἰγύπτιοι, διαβάντες δὲ τὴν Ἐρυθρὰν θάλασσαν οἱ Ἑβραῖοι τῆς πικρᾶς τῶν Αἰγυπτίων ἀπηλλάγησαν δεσποτείας, τύπον ἔχει τῆς κολυμβήθρας ἡ «θάλασσα», ἡ δέ «νεφέλη» τοῦ Πνεύματος, ὁ δὲ Μωυσῆς τοῦ Σωτῆρος Χριστοῦ, τοῦ Σταυροῦ δὲ ἡ ῥάβδος, τοῦ διαβόλου ὁ Φαραώ, τῶν δαιμόνων οἱ Αἰγύπτιοι, τὸ δὲ μάννα τῆς θείας τροφῆς, τὸ δὲ τῆς «πέτρας» ὕδωρ τοῦ σωτηρίου αἵματος· ὥσπερ γὰρ ἐκεῖνοι μετὰ τὸ διαβῆναι τὴν Ἐρυθρὰν θάλασσαν καὶ ξένης τροφῆς καὶ τοῦ παραδόξου ἀπήλαυσαν νάματος, οὕτως ἡμεῖς μετὰ τὸ σωτήριον **186** Βάπτισμα τῶν θείων μεταλαμβάνομεν Μυστηρίων. Διὰ δὲ τοῦτο ἡ «πέτρα Χριστός» ὠνομάσθη ὡς τύπος γενομένη τοῦ Δεσπότου Χριστοῦ, οὕτως καὶ ἡ «θάλασσα» Βάπτισμα προσηγορεύθη, καίτοι οὐδενὸς ἐν αὐτῇ βαπτισθέντος· κεχονιμένος γὰρ μᾶλλον αὐτὴν ἢ διάβροχος διῆλθεν ὁ Ἰσραήλ.

### Α' Κορ. 10,3-4

«Πνευματικόν» καλεῖ καί «τὸ βρῶμα» καί «τὸ πόμα», ὡς ἂν τοῦ Πνεύματος ἄμφω διὰ τοῦ Μωυσέως κατὰ τὴν ἀπόρρητον αὐτοῦ παρασχόντος **[888]** δύναμιν. Οὕτω δὲ καί «πνευματικήν» ἐκάλεσε «τὴν πέτραν», ὡς ἂν τῇ δυνάμει τοῦ Πνεύματος ἐκδοῦσαν τὰ ὕδατα· «ἀκολουθοῦσαν» δέ, ἐπειδὴ τὸ ῥυὲν ἅπαξ ὕδωρ εἵπετο αὐτοῖς κατὰ τὴν ἔρημον, ὥστε μηδαμοῦ δεηθῆναι πότου τῶν τόπων ὄντων ἀνύδρων. Τὸ δέ «ἡ πέτρα ἦν ὁ Χριστός»[2], ἵνα εἴπῃ· τοῦτο ἦν ἐκείνοις ἡ πέτρα ὅπερ ἡμῖν ὁ Χριστός, οὗ τὸ αἷμα πίνομεν οἱ πιστοὶ πνευματικῶς ἐπὶ τῶν μυστηρίων μεταποιούμενον.

### Α' Κορ. 10,6

«Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν»[3], οὐχ ὅτι διὰ τοῦτο ἐτιμωρήθησαν ἐκεῖνοι — πῶς γὰρ οἷόν τε; — ἀλλ' ὅτι τὰ παρ' ἐκείνοις γενόμενα ἐν τάξει τύπων δύναται ἡμᾶς παιδεύειν.

---

**1.** Κολ. 2,17. Ἑβρ. 10,1. **2.** Α' Κορ. 10,3-4. **3.** Α' Κορ. 10,6.

### Α′ Κορ. 10,7

Τοῦτ᾽ ἔστιν μὴ διαφθείρητε τῇ εἰδωλολατρίᾳ[1] τὸ ἀληθινὸν Βάπτισμα.

### Α′ Κορ. 10,12

Λείπει κατὰ τὴν διάνοιαν τὸ ἡμῶν.

### Α′ Κορ. 10,13

Ἰδοὺ γάρ, φησίν, ἐπενεχθέντων ὑμῖν, οὐ διωγμῶν, οὐχ ἀνάγκης τινὸς ὑπὸ τῶν ἀνθρωπίνων τούτων, καὶ ἅπασαν ἀνάγκη προσεῖναι ἀνθρώποις ὅσην ὑπεμείνατε βλάβην· ἐν εἰδωλείῳ μὲν διὰ φιλίαν ἑστιώμενοι, ὑπὸ δὲ τῶν προσόντων πλεονεκτημάτων τοσοῦτον φυσώμενοι.

### Α′ Κορ. 10,22

Παραζηλοῦν[2] λέγεται τὸ ἀπό τινων δύο ποτὲ μὲν τοῦτον θαυμάζειν, ποτὲ δὲ ἐκεῖνον, ἐπὶ τὸ εἰς εὔνοιαν ἀμφοτέρους ἀγαγεῖν ἑαυτοῦ. **187** Τοῦτο δὲ παρὰ μὲν ἐλάττονος εἰς μείζονας οὐκ ἄν ποτε γένοιτο — πότε γὰρ ἂν παροξυνθείη ὁ ὑπερέχων ἐπὶ τῇ παρὰ τοῦ ἐλάττονος εἰς ἕτερον γινομένῃ τιμῇ; — γίνεται δὲ παρὰ τῶν καθ᾽ ὅτι δήποτε ὑπερεχόντων· οἱ γὰρ ἐλάττονες καὶ ἐφίενται τῆς παρὰ τῶν μειζόνων τιμῆς καὶ ἀποτυγχάνοντες δάκνονται.

### Α′ Κορ. 10,25

Ἀγοράζοντες, φησί, μὴ περιεργάζεσθε, ἵνα μὴ πληγῆτε τὸ συνειδός· τὸ γὰρ ἐν ἀγνοίᾳ γινόμενον οὐ πλήσσει, τὸ δὲ μὴ πλῆσσον οὐ κατακρίνει.

### Α′ Κορ. 11,3

Τοῦτο βούλεται εἰπεῖν ὅτι ἀπὸ μὲν τοῦ Χριστοῦ ἐπὶ τὸν Θεὸν χωροῦμεν ἐξ οὗπερ ἔστιν, ἀπὸ δὲ τοῦ ἀνδρὸς ἐπὶ τὸν Χριστόν· ἐξ

**1.** Πρβλ. Α′ Κορ. 10,7. **2.** Πρβλ. Α′ Κορ. 10,22.



ἐκείνου γὰρ ἐσμεν κατὰ τὴν δευτέραν ὕπαρξιν, καθ᾽ ἣν ἀνάστασιν ὁμοίως αὐτῷ πάντες ἐσόμεθα ἄφθαρτοι κατὰ μετουσίαν τῆς ἐν αὐτῷ τοῦ Πνεύματος χάριτος. Παθητοὶ μὲν γὰρ ὄντες «κεφαλὴν» ἡγούμεθα τὸν Ἀδὰμ ἐξ οὗπερ τὸ εἶναι εἰλήφαμεν, ἀπαθεῖς δὲ γενόμενοι «κεφαλὴν» ἡγούμεθα τὸν Χριστὸν ἐξ οὗπερ ἀπαθεῖς εἶναι ἐσχήκαμεν. Ὁμοίως δέ, φησίν, καὶ ἀπὸ τῆς γυναικὸς ἐπὶ τὸν ἄνδρα[1], ἐπειδὴ ἀπ᾽ ἐκείνου τὸ εἶναι εἴληφεν.

### Α′ Κορ. 11,4-5

Προεφήτευον οὐ μόνον ἄνδρες ἀλλὰ καὶ γυναῖκες[2]. Φανερώτερον δὲ τὰ πνευματικὰ χαρίσματα ἐδίδοτο τοῖς βαπτιζομένοις τότε, καὶ πολλὴ μὲν ἦν καὶ διαφορὰ ἡ προφητεία κατὰ τὰς χρείας, μάλιστα δὲ τοὺς ἐν ὑποκρίσει εἰσιόντας πειρᾶσαι τὴν Ἐκκλησίαν ἀπήλεγχον.

Ἀνὴρ ἐὰν κατακαλύπτηται, ὑβρίζει τὴν ἑαυτοῦ «κεφαλήν», αὐτός «κεφαλὴ» τυγχάνων ὡς ὁ Χριστός· ἡ δὲ γυνή, ἐὰν «ἀκατακάλυπτος προσεύχηται», ὑβρίζει τὸν ἄνδρα, τὴν ἑαυτοῦ «κεφαλήν»[3], τὴν ἐκείνου τιμὴν ὑποσυλῶσα καὶ κεφαλὴ αὐτὴ εἶναι βουλομένη ἀρχική. Ἐν δὲ πολλοῖς ἀντιγράφοις φέρεται ἀντὶ τοῦ ἔχειν τι ἐπὶ τῆς κεφαλῆς· ὃ δηλοῖ τὸ ὑποτετάχθαι τῷ ἀνδρί.

### Α′ Κορ. 11,7

Δείκνυσιν αὐτὸ ἄτοπον ἀπὸ τῆς εὐσεβείας καὶ ἀπὸ τῆς φύσεως καὶ ἀπὸ τῆς δημιουργίας.

### Α′ Κορ. 11,8

**188** Τὴν «γυναῖκα δόξαν» μὲν εἶπεν, οὐ μὴν καὶ «εἰκόνα»[4] διὰ τὸ ἀσαφὲς προσέθηκεν, ἐπειδὴ ἡ «δόξα» εἰς τὴν ὑπακοὴν ὁρᾷ ἡ δὲ «εἰκὼν» εἰς τὸ ἀρχικόν.

**1.** Πρβλ. Α′ Κορ. 11,3. **2.** Πρβλ. Α′ Κορ. 11,4-5. **3.** Ἔνθ᾽ ἀν. **4.** Α′ Κορ. 11,7. Πρβλ. Γεν. 1,27. 5,1.

### Α′ Κορ. 11,18

Πρὸ γὰρ ἁπάντων ὑμῶν ἐκεῖνο αἰτιῶμαι, φησίν· τὸ γάρ «πρῶτον»[1] ἀντὶ τοῦ πρὸ πάντων λέγει ὡς καὶ ἐν τῇ πρὸς Ῥωμαίους· «πρῶτον μὲν ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ»[2].

### Α′ Κορ. 11,20

«Κυριακόν»[3] αὐτὸ καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τοῦ τύπου λέγει, ὡς ἂν ἐπ' ἐκείνης τῆς ἡμέρας ἐν τῷ τῆς συνελεύσεως τόπῳ κατὰ ταὐτὸν ἐσθίειν αὐτοὺς τοῦ νενομισμένου.

### Α′ Κορ. 11,20-22

Ἢ καὶ τοῦτο ἐγκαλεῖ ὅτι τῷ Μυστικῷ Δείπνῳ ὡς τῷ συνήθει προσεφέροντο. Διὸ καὶ ὡς εἰς κόρον λαμβάνοντες «ἐμέθυον». Ἤσθιον οὖν οὐχ ὡς Μυστικὸν Δεῖπνον ἀλλ' ὡς «ἴδιον»· ἃ γὰρ ἔφερον αὐτοὶ καθ' ἑαυτούς, ἀνήλισκον ὡς «ἴδιον δεῖπνον». Λοιπὸν συνέβαινεν μήτε κοινωνεῖν τοὺς πένητας οὐκ εὐποροῦντας εἰς τὰς τῶν μυστηρίων προσφοράς. Διό, φησίν, «καταισχύνετε» τοὺς πένητας μὴ ἐκδεχόμενοι αὐτούς, ἀλλά «προλαμβάνοντες» καὶ ἐσθίοντες οὐκέτι ὡς «κυριακὸν δεῖπνον» τὸ πᾶσι κοινῶς εἰς σωτηρίαν ἀφθόνως προκείμενον, ἀλλ' ὡς «ἴδιον»[4] καὶ οἷόν τε ἀνθρώπινον, καίτοιγε ὁ Κύριος ὡς σωτήριον ἑαυτοῦ σῶμα καὶ αἷμα εἰς κοινὸν πᾶσιν αὐτοῖς μισθὸν προέθηκεν· ὑμεῖς δὲ ὡς μὴ ἀκολουθοῦντες τῇ τοῦ Κυρίου διδασκαλίᾳ, ἱκανὴν δὴ ὑπέστητε τιμωρίαν.

### Α′ Κορ. 11,23

**[889]** Τό «παρέλαβον ἀπὸ τοῦ Κυρίου»[5] λέγει ἀντὶ τοῦ παρέλαβον ὡς αὐτοῦ τοῦ Κυρίου οὕτω ποιεῖν παραδεδωκότος· οὐ γὰρ δὴ παρῆν τούτων παρ' αὐτοῦ τοῖς μαθηταῖς παραδιδομένων.

---

**1.** Α′ Κορ. 11,18. **2.** Ρωμ. 3,2. **3.** Α′ Κορ. 11,20. **4.** Α′ Κορ. 11,20-22. **5.** Α′ Κορ. 11,23.



### Α′ Κορ. 11,28

Ἕκαστος, φησίν, ἐξεταζέτω τὴν οἰκείαν διάνοιαν, ἥντινα περὶ τῶν Μυστηρίων κέκτηται τὴν ὑπόληψιν, καὶ τότε αὐτῶν μετεχέτω[1]· τὸ γὰρ **189** «ἑαυτόν» ἀντὶ τοῦ τὴν διάνοιαν ἑαυτοῦ λέγει, καθ' ὅλου περὶ τῆς τῶν Μυστηρίων ὑπολήψεως ἐν τούτοις λέγων.

### Α′ Κορ. 11,33-34

Τινὲς οὐ προσεσχηκότες τῇ διανοίᾳ τῶν κειμένων νομίζουσι τοῦ Ἀποστόλου πληροῦν τὸν σκοπόν, εἰ σπανιώτατά που τῶν Μυστηρίων μετέχοιεν. Δέον αὐτοὺς συνιδεῖν ὅτι εἴπερ πάντη καθαρεύοντας ἁμαρτίας βούλεται κοινωνεῖν ἡμᾶς, οὐδέποτε βούλεται ἡμᾶς κοινωνεῖν· πρῶτον μὲν ἁμαρτίας ἀδύνατον πάντη καθαρεύειν ἄνθρωπον ὄντα· δεύτερον δέ, εἰ καὶ τοῦτο ἦν δυνατόν, ἀλλ' οὐχ ἡμᾶς γε τοῦτο περὶ ἑαυτῶν ὑπειληφότας κοινωνεῖν δίκαιον ἦν. Καὶ ποῦ στήσεται τό «ὁσάκις ἐὰν ἐσθίητε»[2]; Συνέχειαν γὰρ δείκνυσι τῆς κοινωνίας τὸ εἰρημένον, ᾧ δὴ σύνδρομος καὶ ὁ ἐπὶ τῆς Ἐκκλησίας θεσμὸς πάντοτε ἐπιτελεῖσθαι βουλόμενος τὰ Μυστήρια. Τῶν οὖν Μυστηρίων τὸν μὲν τὰ μέγιστα καὶ ἄγαν ἀπηγορευμένα διαπραττόμενον ἀπέχεσθαι ὅσιον, περὶ ὧν καὶ ὁ Ἀπόστολος ἀπεφήνατο σαφῶς οὐκ ἐνεῖναι τῆς βασιλείας τυχεῖν τὸν διαπραττόμενον[3]· τῷ γὰρ τοιούτῳ τότε καλὸν μετέχειν αὐτῶν, ἐπειδὰν τῶν ἁμαρτημάτων δέει τῶν νενομοθετημένων ἀπόσχηται πρότερον. Τῶν δέ γε λοιπῶν ὅσα συμβαίνειν ἀνθρώποις ἀνάγκη, πολλὰ μὲν καὶ ὑπὸ τῶν καθημερινῶν συμπτωμάτων, πλεῖστα δὲ καὶ ὑπὸ τῆς ἀσθενείας τῆς φύσεως, σπουδάζειν μὲν ὅση δύναμις ἀπέχεσθαι προσῆκεν· ἐπιμέλεια γὰρ ἀρετῆς καὶ ἡ καθημερινὴ τοῦ βίου μελέτη ἐλαττοῦν τὰ τοιαῦτα δύναται πάντως. Περιπίπτοντας δὲ τοῖς τοιούτοις οὐκ ἀποστερεῖν τῶν Μυστηρίων καλὸν ἑαυτούς, προσιέναι δὲ πλείονι τῷ φόβῳ λογιζομένους μὲν αὐτῶν τὸ μέγεθος, ποιουμένους δὲ ἐπ' ἐλπίσιν ἀγαθαῖς τὴν μετάληψιν, ὡς ἂν καὶ ἀφέσεως ἡμῖν ἐκεῖθεν προσγινομένης, ὅταν ἀπεχώμεθά γε τῶν ‹τοιούτων› κατὰ δύναμιν καὶ τῶν λοιπῶν μὴ καταμελοῦντες φαινοίμε-

---

**1.** Πρβλ. Α′ Κορ. 11,28. **2.** Α′ Κορ. 11,26. **3.** Α′ Κορ. 6,9-10.

θα, καὶ μὴν καὶ πνευματικῆς συνεργείας πρὸς εὐμαρεστέραν τοῦ βίου κατόρθωσιν· πάντα γὰρ ὅσα διὰ τοῦ θανάτου προσγέγονεν ἡμῖν τοῦ Χριστοῦ, ταῦτα καὶ ἀπὸ τῶν συμβόλων ἐπιτελεῖσθαι τοῦ θανάτου δίκαιον. Ὥστε ἐγὼ θαῤῥῶν εἴποιμι ἄν, ὅτι κἂν τὰ μέγιστά τις ἡμαρτηκὼς τυγχάνῃ, δοκιμάσας δὲ πάσης ἀτόπου πράξεως ἀπέχεσθαι τοῦ λοιποῦ καὶ βλέπειν εἰς ἀρετήν, ἀκολούθως τοῖς νόμοις πολιτευόμενος τοῦ Χριστοῦ, τὴν τῶν Μυστηρίων ‹μετάληψιν› ποιήσαιτο πάνυ πεπιστευκὼς ἁπάντων λήψεσθαι τὴν συγχώρησιν, οὐδαμῶς ἀποτεύξεται τῶν πεπιστευμένων.

### Α′ Κορ. 12,1

**190** Ἀντὶ τοῦ θέλω ὑμᾶς καὶ τῶν πνευματικῶν χαρισμάτων εἰδέναι τὴν τάξιν[1], ὥστε βούλομαί τι καὶ περὶ τούτων εἰπεῖν.

### Α′ Κορ. 12,3

Ἴσως δὲ ὅτι καὶ εἰς ὠφέλειαν τῶν ἀκουόντων ὑπὸ ἀνάγκης θείας ὡμολόγουν οἱ δαίμονες τὸν Κύριον.

### Α′ Κορ. 12,7

Οὐχ ἁπλῶς εἶπεν, ἀλλά «φανέρωσις Πνεύματος»[2], τοῦτ᾽ ἔστιν ἐνέργεια Πνεύματος, δι᾽ ἧς δῆλον γίνεται ὅτι διὰ τὴν εἰς Χριστὸν πίστιν τὰ πνευματικὰ χαρίσματα εἰς τοὺς πολλοὺς ἡπλώθη πρὸς τὸ συμφέρον τῇ οἰκοδομῇ καὶ αὐξήσει τῆς Ἐκκλησίας.

### Α′ Κορ. 12,10

**[892]** «Προφητείαν»[3] δέ φησιν εἶναι τὴν τῶν μελλόντων προαγόρευσιν, λέγεσθαι δὲ καὶ τὸ τὰ ἐν πράξει ἤτοι καὶ βουλεύμασιν ἄδηλα ὄντα τοῖς πολλοῖς εἰπεῖν, ἀλλὰ μὴν καὶ τὸ τὰ παρεληλυθότα καὶ ἀγνοούμενα τοῖς πᾶσι δυνηθῆναι εἰπεῖν ὡς Μωυσῆς διηγήσατο ἅπαντα.

**1.** Πρβλ. Α′ Κορ. 12,1. **2.** Α′ Κορ. 12,7. **3.** Α′ Κορ. 12,10.



Πολλοὶ τότε διὰ τὸ πλῆθος τῶν πνευματικῶν χαρισμάτων ὑπεκρίνοντο τὴν εὐσέβειαν εἰς ἀπάτην ἑτέρων, καὶ δὴ καὶ θαύματα δαιμονικῇ τῇ συνεργείᾳ κεχρημένοι ὁμοίως τοῖς πιστοῖς ἐπιτελεῖν ἐδόκουν· οὕτως οἱ τοῦ Σκευᾶ[1] υἱοὶ περιῄεσαν ἐν ἐπορκιστῶν σχήματι δαίμονας καὶ αὐτοὶ ἀπελαύνειν προσποιούμενοι δῆθεν. Ἦν οὖν χάρισμα Πνεύματος καὶ πρὸς τοῦτο ὥστε «διακρίνειν», τίνες μὲν οἱ ἀληθῶς τῇ δυνάμει τοῦ θείου Πνεύματος ἐπιτελοῦντες τὰ θαύματα, τίνες δὲ οἱ δαιμονικῇ συνεργείᾳ ὑποκρινόμενοι τὴν ἀλήθειαν.

### Α′ Κορ. 12,23-24

«Περιτίθεμεν» εἶπεν καὶ οὐ ʽπερίκειταιʼ· οὐ γὰρ τῆς φύσεως μέρος τὰ ὑποδήματα, ἀλλ᾽ ὕστερον εὕρηνται παρ᾽ ἡμῶν. «Καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει, τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει»[2]. Ἀσχήμονα ὡς πρὸς τὴν κοινὴν ὄψιν ἀποκαλεῖ, ὥστε τῇ μὲν φύσει οὐκ ἔστιν ἀσχήμονα, **191** εἴπερ δὴ περισσοτέραν ἔχει τὴν εὐσχημοσύνην, τῇ δὲ ὑπολήψει κρινόμενα λέγεται οὕτως, καθ᾽ ἣν οὐκ εὐσχημοσύνην τὴν ἄνευ αἰτίας γύμνωσιν αὐτῶν εἶναι νομίζομεν.

### Α′ Κορ. 12,27

Οὕτω δὴ καὶ ὑμεῖς, ἐπειδὴ τάξιν ἐπέχετε σώματος ἐκ διαφόρων συγκειμένου μελῶν, τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν τοῦ δεσποτικοῦ σώματος καταστάντες συνάφειαν[3], ταύτην ἀναγκαίως σώζετε τὴν συμφωνίαν, μηδεμίαν ἀπὸ τῆς διαφορᾶς τῶν χαρισμάτων δεχόμενοι φιλονεικίας παρείσδυσιν.

### Α′ Κορ. 13,1

Πᾶν χάρισμα «ἀγάπης» ἐστερημένον μάταιόν ἐστιν, οὐ διὰ τὸν ἔχοντα ἐνεργούμενον ἀλλὰ διὰ τοὺς οἰκοδομουμένους ἐνεργούμενον, ὥστε οὐδὲ τό «κύμβαλον» ἢ ἄλλο ὅ τι ὄργανον «ἠχοῦν»[4] ἑαυτὸ τέρπει ἀλλὰ τοὺς ἀπολαύοντας αὐτοῦ.

**1.** Πράξ. 19,14. **2.** Α′ Κορ. 12,23-24. **3.** Πρβλ. Α′ Κορ. 12,27. **4.** Α′ Κορ. 13,1.

## Α′ Κορ. 13,2

Καὶ ὅτι μὲν οὔτε ἡ «πίστις» ἄνευ «ἀγάπης» οὔτε ἡ «ἀγάπη» ἄνευ «πίστεως» τελειοῖ πρόδηλον· καὶ γὰρ τὰ ἔργα πίστεως δεῖται καὶ ἡ πίστις ἔργων ἅπερ δι' ἀγάπης πληροῦται[1]. Πλὴν ἐπειδὴ ἑώρα ὁ Ἀπόστολος τοὺς Κορινθίους τῆς ἀγάπης ἠμεληκότας, προτιμᾷ αὐτὴν ἐνταῦθα ὡς ἄριστος ἰατρὸς τὰ κατεπείγοντα τῶν παθῶν θεραπεύων.

[Ἐνταῦθα οὐ τὴν κοινὴν ταύτην λέγει· δοὺς γὰρ δὴ τὴν τηνικαῦτα κατέχουσαν ἀπιστίαν, πολλὰ τοιαῦτα ἐθαυματούργουν εἰς ἔκπληξιν διὰ τούτων αὐτοὺς ποδηγοῦντες πρὸς τὴν ἀλήθειαν.]

## Α′ Κορ. 13,4

«Οὐ περπερεύεται»[2], ὅ ἐστιν ἀλαζονεύεται ἡ ἀγάπη καὶ φυσιοῦται, ὅπερ ἐστὶν ἀσχημοσύνης ἀνθρώπινον ὄντα μέγα φρονεῖν καὶ ἐπαίρεσθαι κατὰ τοῦ πλησίον ὡς μὴ τοῖς ὁμοίοις αὐτῶν πάθεσιν ὑποκείμενον.

## Α′ Κορ. 13,8-13

Μετὰ τὸ ἀπλωθῆναι τὴν πίστιν ἐπὶ πάσης γῆς ὡς περιττὰ αἵ τε «προφητεῖαι» καὶ αἱ «γλῶσσαι» καὶ ἡ «ἐκ μέρους γνῶσις»[3] **192** παύονται, μένει δὲ λοιπὸν ὡς ἀναγκαῖα «τὰ τρία ταῦτα». Εἰκότως δὲ τὴν «ἀγάπην μείζονα»[4] φησίν, ἐπειδὴ διεστασίαζον πρὸς ἑαυτοὺς Κορίνθιοι καὶ ζῆλον εἶχον καὶ ἔριδας, καὶ κίνδυνος ἦν σχισθῆναι τὴν Ἐκκλησίαν.

## Α′ Κορ. 14,1

Ἀντὶ τοῦ μάλιστα μὲν ὑμᾶς τῆς ἀγάπης ἐπιμελεῖσθαι βούλομαι· εἰ δι' ἄρα καὶ τῶν πνευματικῶν χαρισμάτων ἐφίεσθε[5], κἂν γνῶτε ποῖα κρείττονα καὶ ὅτι τὸ προφητεύειν ἄμεινον τῇ γλώσσῃ λαλεῖν.

**1.** Πρβλ. Ἰακ. 2,20-26. **2.** Α′ Κορ. 13,4. **3.** Α′ Κορ. 13,8-9. **4.** Α′ Κορ. 13,13. **5.** Πρβλ. Α′ Κορ. 14,1.



## Α′ Κορ. 14,2-4

Προκρίνει τὴν προφητείαν μετὰ τὴ ἀποστολήν· οὐκοῦν ὁ μὲν Ἀπόστολος καὶ Προφήτης, ὁ δὲ Προφήτης οὐ πάντως καὶ Ἀπόστολος. «Ὁ λαλῶν γλώσσῃ» αὐτὸς μὲν οἰκοδομεῖται, πεπεισμένος ὅτι Πνεύματι Ἁγίῳ φθέγγεται, οὐ μὴν τὴν «Ἐκκλησίαν οἰκοδομεῖ» ἀγνοοῦσαν ἃ φθέγγεται. «Ὁ δὲ προφητεύων»[1] τοὺς ἀκούοντας ὠφελεῖ καὶ ἐκ τῆς προγνώσεως δείκνυσι τὴν ἐνοίκησιν τοῦ Ἁγίου Πνεύματος τὴν ἐν αὐτῷ.

## Α′ Κορ. 14,5

«Θέλω ὑμᾶς γλώσσαις λαλεῖν»[2]· καὶ γὰρ τοῦτο πνευματικὸν τὸ χάρισμα. «Θέλω δὲ μᾶλλον προφητεύειν ὑμᾶς»· τοῦτο γὰρ «μεῖζον» τὸ χάρισμα.

## Α′ Κορ. 14,14

«Προσεύξομαι»[3] ἀντὶ τοῦ εὐχαριστήσω καὶ εὐλογήσω. «Νοῦν» δὲ εἶπε τὸν νοούμενον λόγον.

## Α′ Κορ. 14,16

«Ἰδιώτην»[4] λέγει τὸν λαϊκὸν πρὸς ἀντιδιαστολὴν τοῦ ἱερέως.

## Α′ Κορ. 14,19

Τοῦτο ἔφη, ἵνα μὴ νομίζητε διὰ τὸ μὴ κατηξιῶσθαι χαρίσματος γλωσσῶν...

## Α′ Κορ. 14,26

Ὡς μέγα χάρισμα τὸ τῶν ψαλμῶν τῶν ἄλλων προέταξεν. Πάντα οὖν κατὰ τάξιν γινέσθω· ψαλλέτω ὁ καταξιωθεὶς «ψαλ-

**1.** Α′ Κορ. 14,2-4. **2.** Α′ Κορ. 14,5. **3.** Α′ Κορ. 14,14. **4.** Α′ Κορ. 14,16.

μοῦ», διδασκέτω **193** ὁ εὐπορῶν «διδαχῆς», ἐκφωνείτω τὴν ἀποκάλυψιν ὁ «ἀποκαλύψεως»[1] τετυχηκώς.

### Α′ Κορ. 14,27-28

Μὴ θορυβεῖτε, φησί, ταῖς γλώσσαις τὴν Ἐκκλησίαν οὐκ ὄντων τῶν ἑρμηνευόντων αὐτάς[2]. Εἰ δὲ καὶ εἶεν, «πάντα τάξει γινέσθω»[3].

### Α′ Κορ. 14,29

Μὴ πλάνης πνεῦμα λαλείη, «διακρινέτωσαν»[4]· ἀντὶ τοῦ σαφηνιζέτωσαν.

### Α′ Κορ. 14,34-36

Ἐπειδὴ ὀπίσω εἶπεν τὰς γυναῖκας προφητεύειν, μήποτε «ἐν οἴκῳ» ἐπροφήτευον. Ἢ «σιγάτωσαν»[5] ἀντὶ τοῦ μὴ διδασκέτωσαν. Διαφέρει δὲ προφητεία διδασκαλίας.

Ἀκολουθεῖτε, φησί, ταῖς ἄλλαις Ἐκκλησίαις καὶ μηδὲν καινοτομεῖτε ὡς μόνοι τοῦ κηρύγματος ἠξιωμένοι· οὐ γὰρ ἀφ' ὑμῶν ἤρξατο ὁ λόγος, οὔτε εἰς ὑμᾶς περιεκλείσθη[6]. «Σιγάτωσαν» καὶ παρ' ὑμῖν «αἱ γυναῖκες» ὡς καὶ πανταχοῦ ἐν ταῖς Ἐκκλησίαις.

### Α′ Κορ. 14,37-38

«Εἴ τις ἀγνοεῖ», φησίν, «ὅτι τοῦ Κυρίου ἐστὶν ἃ γράφω»[7] καὶ οὐκ ἐμά, οὐκ ἔστιν Προφήτης οὐδ' ἔχει Πνεῦμα Θεοῦ, ἀλλ' «ἀγνοεῖται» ὑπὸ τοῦ Ἁγίου Πνεύματος.

### Α′ Κορ.15,1-2

Εἰ γὰρ εὐηγγελίσατο καὶ παρέλαβον καὶ μὴν καὶ κατέχουσιν ἔτι — τοῦτο γάρ ἐστι τό «ἐν ᾧ καὶ ἑστήκατε» —, περιττὸν τὸ περὶ τούτου γράφειν, εἰ μὴ ἄρα ἐκεῖνοι τῷ δοκεῖν τὰ Χριστιανικὰ κατέ-

**1.** Α′ Κορ. 14,26. **2.** Πρβλ. Α′ Κορ. 14,27-28. **3.** Α′ Κορ. 14,40. **4.** Α′ Κορ. 14,29. **5.** Α′ Κορ. 14,34-35. **6.** Α′ Κορ. 14,36. **7.** Α′ Κορ. 14,37-38.



χοντες δόγματα, ἐπὶ τῶν πραγμάτων τὰ ἐναντία φαίνονται ἀσπαζόμενοι· ὅθεν καλῶς ἐπήγαγε τό «δι' οὗ καὶ σώζεσθε», ἀντὶ τοῦ οὕτω κατέχετε ὡς ἂν καὶ σωτηρίας τυχεῖν ἐλπίζοντες ἀπ' αὐτοῦ. Τὸ δέ «τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν», ἀντὶ τοῦ τίς ὁ σκοπὸς τοῦ Εὐαγγελίου, τίς ἡ αἰτία ἵνα τὸ μὲν Εὐαγγέλιον ᾖ τοῦ Χριστοῦ ἡ ἀνάστασις, ὁ δὲ τούτου σκοπὸς τὸ πιστεῦσαι ὅτι καὶ πάντες ἀναστησόμεθα ἀκολούθως ἐκείνῳ· **194** εἴπερ δή «κατέχετε» καὶ μὴ ἀπεβάλετε πάντα ὡς ἂν «εἰκῇ πεπιστευκότες»[1] τοῖς παρ' ἡμῶν λεχθεῖσιν.

### Α′ Κορ. 15,10

«Οὐ κενὴ» καὶ ἄπρακτος γέγονεν ἐν ἐμοί «ἡ χάρις, ἀλλά» πλείω τῶν ἄλλων «ἐκοπίασα»[2] ἐν τῷ κηρύγματι.

### Α′ Κορ. 15,14

Διὰ γὰρ τῆς ἀναστάσεως αὐτοῦ ἡ ἄφεσις.

### Α′ Κορ. 15,23

[Ὁ θεσπέσιος Παῦλος τὸ περὶ τῆς ἐσομένης ἀναστάσεως ἡμῖν ἀποκαλύπτων μυστήριον, «ἀπαρχήν» μὲν τὸν Χριστὸν ἀναστήσεσθαι λέγει — καὶ γὰρ δὴ καὶ ἐγήγερται πρῶτος ἐκ νεκρῶν —, ἀλλ' «ἔπειτα», φησίν, «οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ»[3]· πρὸ γὰρ τῶν ἄλλων ἁπάντων τοὺς οἰκειωθέντας αὐτῷ διὰ πίστεως δεῖ ἀναστήσεσθαι λέγει, χρεωστουμένην αὐτοῖς δὴ μάλιστα κυρίως τε καὶ ἰδικῶς ἐπιδεικνύων τὴν ἀνάστασιν, εἰ καὶ εἰς ὅλην διϊκνεῖται τὴν φύσιν ἐξ ἀγαθότητος δηλονότι καὶ φιλανθρωπίας τοῦ παντελῶς καταργῆσαι τὸν θάνατον ἐθελήσαντος Θεοῦ.]

### Α′ Κορ. 15,24

Μετὰ γὰρ τὴν αὐτοῦ ἔσται πάντων ἡ ἀνάστασις, ὅτε καί «τὸ τέλος», τὸ καταβαπτισθῆναι τὸν θάνατον καὶ ἔτι οὐκ ἔσται θάνατος,

**1.** Α′ Κορ. 15,1-2. **2.** Α′ Κορ. 15,10. **3.** Α′ Κορ. 15,23.

ἀλλά «καταργεῖται» ὁ κοινὸς ἀνθρώπων ἐχθρός[1], ὃν εἰσήγαγεν ὁ ἀόρατος θάνατος.

### Α′ Κορ. 15,25

«Ἐχθρούς»[2] τὰς ἀντικειμένας δυνάμεις λέγει.

### Α′ Κορ. 15,32

Ὑπὸ θηριωδῶν καὶ φονικῶν ἀνθρώπων ἀνῃρέθη.

### Α′ Κορ. 15,36-38

Τοῦτο λέγει· ἐὰν μὴ διαφθαρῇ «ὃν σπείρεις, οὐ ζωοποιεῖται»[3], καὶ οὐδὲ αὐτὸ φύεται ἀλλὰ γένεσις ἑτέρῳ γίνεται, καὶ ταῦτα ποιεῖ ἡ τοῦ Θεοῦ δύναμις. Ἅπερ τις τεκμαιρόμενος οὐκ ὀφείλει ἀπιστῆσαι τῇ ἀναστάσει.

### Α′ Κορ. 15,37-44

**195** Ὥσπερ καὶ ἡ ὕελος ἐξ ἄμμου μέν ἐστιν, οὐκέτι δὲ ἄμμος ἀλλ' ἕτερόν τι παρ' ἐκεῖνο ἀφ' οὗ γέγονεν, καὶ ὁ στάχυς ὡσαύτως οὐκέτι κόκκος ἀλλὰ στάχυς ἕτερόν τι παρὰ τὸν κόκκον, οὕτως καὶ ἐν τῇ ἀναστάσει βέλτιον τὸ σῶμα μετασκευάζεται ὡς μηκέτι σὰρξ καὶ αἷμα ἀλλ' ἀθάνατόν τι καὶ ἀδιάφθορον ζῶον.

### Α′ Κορ. 15,45-47

**[893]** Τό «ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν»[4] γέγραπται· τὸ δέ «ὁ πρῶτος» καὶ τό «Ἀδάμ» αὐτὸς προσέθηκεν, ἵνα εἴπῃ τὸ «ἔσχατος Ἀδάμ»[5].

Οὐ γὰρ εἶπεν 'εἰς ψυχὴν ζωοποιοῦσαν' ἀλλά «ζῶσαν», ἀντιδιαστέλλων πρὸς τὴν τῶν ἀλόγων ψυχὴν τὴν συμφθειρομένην τοῖς

**1.** Πρβλ. Α′ Κορ. 15,24. **2.** Α′ Κορ. 15,25. **3.** Α′ Κορ. 15,36. **4.** Γεν. 2,7. **5.** Α′ Κορ. 15,45.



σώμασιν. Ἐπεὶ οὖν καί «ὁ πρῶτος ἄνθρωπος ἐγένετο εἰς ψυχὴν ζῶσαν»[1], ἀπέθανεν καὶ οὐκ ἴσχυσεν ἀναστῆναι, ὁ δέ «δεύτερος», ὅτι «πνεῦμα ζωοποιοῦν» εἶχεν καὶ ψυχήν, ἀνέστησεν δι' ἑαυτοῦ. Ἐπεὶ οὖν ὁ «ψυχικὸς πρῶτος»[2] ἐγένετο, δεύτερον δὲ ὁ «πνευματικός», ἀκολούθως πρῶτον ὁ θάνατος καὶ δεύτερον ἡ ἀνάστασις· ἕπεται γὰρ τῷ δευτέρῳ τὸ πρῶτον. Διὸ καὶ ἡμεῖς ὡς «ψυχικοί» γεγονότες ἀποθνήσκομεν, καὶ πάλιν «πνευματικοί» γενόμενοι ἀνιστάμεθα. Οὐκ ἔδει δὲ πρῶτον γενέσθαι αὐτὸν πνευματικὸν τὸν θάνατον, ἐπεὶ ἐκ παλιγγενεσίας οὐκ ἦν δυνατὸν αὐτὸν ἀποθέσθαι τὴν ἁμαρτίαν· ὁ δὲ Θεὸς πάντα ἐν προγνώσει ποιεῖ.

### Α′ Κορ. 15,48-49

Τοῦτο εἶπεν διὰ τό «ἐξ οὐρανοῦ»[3] εἶναι τὸν Θεόν «Λόγον»[4] τὸν ἀτρέπτως γεγονότα ἄνθρωπον. Οὐρανίους δὲ λέγει οὐχ ὡς ἐν ἁγιότητι ὁμοίους, ἀλλ' ὡς «ἐν ἀφθαρσίᾳ»[5] ἀναστησομένους. «Εἰκόνα» δὲ νῦν λέγει πεφορηκέναι ἡμᾶς «τοῦ χοϊκοῦ» κατὰ τὸ τεθνήξεσθαι, «εἰκόνα δὲ τοῦ ἐπουρανίου»[6] κατὰ τὸ ἀναστήσεσθαι καὶ διαμένειν ἀφθάρτους. Δῆλον δὲ ὅτι τούς «χοϊκούς» καί «ἐπουρανίους» τοὺς αὐτοὺς λέγει· «χοϊκοί» μὲν γὰρ πρὸ ἀναστάσεώς ἐσμεν, «οὐράνιοι» δὲ μετὰ τὴν ἀνάστασιν, κατὰ τὸν τοῦ φθαρτοῦ καὶ ἀφθάρτου λόγον, οὐ κατὰ τὸν τῆς Οὐρανίου Βασιλείας.

### Α′ Κορ. 15,50-51

Σαφῶς καὶ διὰ τούτων διδάσκει, ὅτι «σὰρξ καὶ αἷμα Βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται» ἐπὶ τῶν «ἀλλαγησομένων» ἔταξεν, τὸ δέ «οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν»[7] ἐπὶ πάντων.

### Α′ Κορ. 15,52

**196** «Ἐσχάτην σάλπιγγα» ἐνταῦθα ἐκάλεσεν μεθ' ἣν ἀνίστανται ἅπαντες· αὕτη γὰρ ἡ τοῦ θανάτου κατάργησις. Δῆλον δὲ ὅτι

**1.** Α′ Κορ. 15,45. Γεν. 2,7. **2.** Α′ Κορ. 15,46-47. **3.** Α′ Κορ. 15,47. **4.** Ἰω. 1,1. **5.** Α′ Κορ. 15,42. **6.** Α′ Κορ. 15,48-49. **7.** Α′ Κορ. 15,50-51.

πολλαὶ μὲν φωναὶ σαλπίγγων γίγνονται, ἑκάστου δέ τινος ἐπιτελουμένου πάντως ἐστὶ σύμβολον. Ἐπειδὴ τοίνυν τάξει τινὶ γίνεται ἕκαστον, εἰκότως «ἐν τῇ ἐσχάτῃ σάλπιγγι»[1] τοῦτο ἔσεσθαί φησιν. Τὸ τῆς «ἀλλαγῆς» καί «ἀφθαρσίας» τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν ἐμφαίνει.

### Α′ Κορ. 15,56

«Νόμον»[2] ἐνταῦθα λέγει ἁπλῶς εἴτε τὸν ἐν τῇ φύσει κείμενον εἴτε τὸν θετόν· βούλεται γὰρ εἰπεῖν ὅτι τότε σὺν τῷ θανάτῳ καὶ ἡ ἁμαρτία λύεται, καὶ νόμος ἅπας ἀργεῖ, ἐπειδὴ ἄφθαρτοι γεγονότες τῇ τοῦ Πνεύματος χάριτι κυβερνώμεθα.

— · — · —

### Β′ Κορ. 1,3

Συνετὸν τὸ ἀπ᾽ εὐχαριστίας καὶ μὴ διηγηματικῶς ἄρξασθαι τῶν συμβεβηκότων αὐτῷ, ὥστε μὴ δοκεῖν μεγάλα φρονεῖν ἐπ᾽ αὐτοῖς· καὶ οὐδὲ ἀπὸ τῆς θλίψεως ἤρξατο ἀλλ᾽ ἀπὸ τῆς παρακλήσεως, ὥστε φαίνεσθαι τὸ μὲν προκείμενον αὐτῷ τὴν ὑπὲρ τῆς παρακλήσεως εὐχαριστίαν, ὑπὸ δὲ τῆς ἀκολουθίας τοῦ λόγου δοκεῖν εἰς τὸν περὶ τῶν θλίψεων ἐξενηνέχθαι λόγον. «Εὐλογητὸς ὁ Θεός»[3]· ἐνταῦθα ὑποστικτέον, ἵνα ᾖ κατ᾽ ἔλλειψιν· νοεῖται γὰρ τὸ ἡμῶν ἀντὶ τοῦ «εὐλογητὸς ὁ Θεός» ἡμῶν.

### Β′ Κορ. 1,4

[Ὁ λόγος ψιλός ἐστι τὸ τῆς ἡμετέρας παρακλήσεως ἀλλ᾽ ἔργον προειληφώς· πειραθέντες γὰρ τῆς παρὰ τοῦ Θεοῦ παρακλήσεως μεμαθήκαμεν ἀφ᾽ ὧν πεπόνθαμεν[4] παρακαλεῖν.]

### Β′ Κορ. 1,6

Ἀντὶ τοῦ ἀληθῆ περί «ὑμῶν»[5] ἐλπίζοντες πάσχειν αἱρούμεθα.

**1.** Α′ Κορ. 15,52. Πρβλ. Α′ Θεσ. 4,16. **2.** Α′ Κορ. 15,56. **3.** Β′ Κορ. 1,3. **4.** Πρβλ. Ἑβρ. 5,8. **5.** Β′ Κορ. 1,6.



### Β′ Κορ. 1,12

**197** Τοῦτο εἶπεν, ἐπειδὴ διέβαλλον αὐτὸν οἱ ἐκ περιτομῆς λέγοντες ὅτι καὶ αὐτὸς φυλάττει τὸν νόμον, εἰ καὶ ὑμῖν ὡς ἀπ᾽ ἐθνῶν οὖσιν ἑτέρως διαλέγεται.

### Β′ Κορ. 1,15

Ἐντρεπτικώτατον τό «καὶ ταύτῃ»[1], ὡς οὐχ ὁμοίως ἔτι θαρρεῖν δυνάμενος τῷ μεταβεβλῆσθαι αὐτούς, καὶ οὐχ ὁμοίους εἶναι περὶ αὐτόν. Ἐκ τῶν λεγομένων δὲ δῆλον, ὡς πολλὴν περὶ αὐτοὺς ἔσωζε τὴν διάθεσιν.

### Β′ Κορ. 1,20

Ἔστι, φησί, τό «ἀμήν»[2] φωνὴ συγκαταθέσεως ἐπ᾽ εὐχαριστίας τῆς εἰς τὸν Θεὸν γινομένης, ὡς ἐν τῇ προτέρᾳ αὐτός φησιν· «ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ;»[3].

### Β′ Κορ. 1,24

[Κατὰ τὴν συνθήκην λείπει τὸ μέν, ἵνα ᾖ· «τῇ μὲν γὰρ πίστει ἑστήκατε»[4]. Λέγει δὲ τοῦτο· τῆς μὲν πίστεως ἕνεκεν οὐδαμῶς ὑμῖν ἐπιμέμφομαι — τὴν γὰρ ταύτης ὑγείαν περίκεισθε — ἕτερα δέ τινα παρ᾽ ὑμῶν πλημμελεῖται, ἅτινα διορθώσεώς τινος δεῖται.]

### Β′ Κορ. 2,13

**[896]** «Ἄνεσιν τοῦ πνεύματος»[5] καλεῖ τὸ δυνηθῆναί τι γενέσθαι κατάλληλον τῆς τοῦ πνεύματος δόσεως, ταῦτα δὲ ἦν ἡ ἑτέρων ὠφέλεια· οὐδὲ γὰρ ἔνεστιν ὑπολαβεῖν ὅτι Παῦλος ἀνθρωπίνης ἕνεκεν θλίψεως τὸ διδάσκειν ὑπερέθετο, εὑρηκὼς τοὺς τὸ εὐαγγελικὸν κήρυγμα παραδέξασθαι δυναμένους.

**1.** Β′ Κορ. 1,15. **2.** Β′ Κορ. 1,20. **3.** Α′ Κορ. 14,16. **4.** Β′ Κορ. 1,24. **5.** Β′ Κορ. 2,13.

## Β′ Κορ. 3,7-11

Οὐχ εἶπεν ἡ διακονία τοῦ νόμου, ἐπειδὴ εἶχεν ἀξιοπιστίαν τινὰ καθ᾽ αὑτὴν ἡ τοῦ νόμου προσηγορία, ἀλλ᾽ ἡ «τοῦ θανάτου» — ἀπὸ τοῦ ἀποτελέσματος αὐτὸ μᾶλλον εἰρηκώς — ὥστε τὴν περὶ αὐτὴν μειῶσαι φαντασίαν. Καλῶς δὲ καὶ τό «καταργουμένην» εἰς αὔξησιν τοῦ πράγματος, ἀντὶ τοῦ καὶ ταῦτα καταργουμένην. Καλῶς δὲ καὶ τό «ἔσται»[1], ἐπειδὴ ἀπὸ τῶν μελλόντων πιστοῦται τῶν κατὰ τὸν Χριστὸν τὸ μέγεθος. «Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ»[2]. Καλῶς ἐπὶ μὲν ἐκείνου εἶπεν «διὰ δόξης», ἐπειδὴ πρὸς τῷ μηδένα ἕτερον μετασχεῖν τῶν ὁμοίων, καὶ **198** αὐτὸς Μωυσῆς πρὸς ὀλίγον τοιοῦτος ἐγένετο· ἐνταῦθα δὲ τό «ἐν δόξῃ», ἅτε δὴ αὐτοῦ τε τοῦ Χριστοῦ καὶ τῶν κοινωνούντων τῆς δόξης ἀεὶ ἐν τοῖς αὐτοῖς ἐσομένων.

## Β′ Κορ. 3,17

Εἰ τὸν Κύριον πνεῦμα εἰπεῖν ἠβούλετο, πνεῦμα ἂν εἶπεν ἁπλῶς, οὐ «τὸ πνεῦμα»[3] μετὰ τῆς τοῦ ἄρθρου προσθήκης. Ὥστε «πνεῦμα ὁ Θεός»[4], εἰ καὶ τὰ μάλιστα εὔηθες τοῦτο εἰπεῖν. Οὐ γὰρ ὥσπερ ἐν ἐκείνοις πρὸς τὴν Σαμαρεῖτιν διαλεγόμενος οἰομένην ἐν τόπῳ εἶναι τὸ θεῖον[5], ἀναγκαίως ἔφησεν αὐτὸ πνεῦμα εἶναι ἀσώματον, οὕτω κἀνταῦθα δεῖξαι ὅτι ἀσώματος ὁ Κύριος, τῷ Ἀποστόλῳ προέκειτο· φανερὸς γὰρ ὁ ἐν τούτοις σκοπὸς αὐτοῦ. Ἐπειδὴ δὲ οὐ ‘πνεῦμα’ εἶπεν ἀλλά «τὸ πνεῦμα» μετὰ τοῦ ἄρθρου, δηλονότι μὴ τὸν Κύριον πνεῦμα λέγει ἀλλά «τὸ πνεῦμα Κύριον». Οὐδὲ γὰρ ἔχοι ἄν τις διὰ πάσης δεῖξαι τῆς Καινῆς Διαθήκης τῇ τοῦ πνεύματος φωνῇ τὸν Πατέρα ἢ τὸν Υἱόν που σημαινόμενον, ἐπεὶ καὶ ὅταν λέγῃ «πνεῦμα ὁ Θεός», οὐ τῇ τοῦ πνεύματος αὐτὸν σημαίνει προσηγορίᾳ, ἀλλὰ Θεὸν μὲν ὀνομάζει· πνεῦμα δὲ εἶναί φησιν οὐκ ἐπὶ σημασίᾳ τῇ κατὰ τὴν ὀνομασίαν αὐτὸ τεθεικώς, ὡς τὸ Θεὸς καὶ Κύριος καὶ Πατὴρ καὶ Υἱὸς καὶ ὅσα τοιαῦτα ἐπὶ τῆς θείας κεῖται Γραφῆς, ἀλλ᾽ εἰς διδασκαλίαν τοῦ μὴ περιγραπτὸν ἐν τόπῳ εἶναι.

---

**1.** Β′ Κορ. 3,7-8. **2.** Β′ Κορ. 3,11. **3.** Β′ Κορ. 3,17. **4.** Ἰω. 4,24. **5.** Πρβλ. Ἰω. 4,20.



## Β′ Κορ. 4,7

Τό «ἵνα»[1] οὐκ ἐπ᾽ αἰτίας λέγεται, ἀλλὰ συνήθως τὸ ἑπόμενον.

## Β′ Κορ. 4,14

Καλῶς τό «εἰδότες»[2], ὡς ὅτι δὴ ὁμολογουμένης παρ᾽ αὐτοῖς τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, ᾗ πάντως εἵπετο τὰ ὅμοια καὶ ἐπὶ τῶν λοιπῶν πιστεύειν αὐτούς. Συνῆψε δὲ καί «σὺν ὑμῖν» ὡς ἂν μὴ νομισθῇ ἴδιον αὐτοῦ μόνου εἶναι τὸ πρᾶγμα λέγειν.

## Β′ Κορ. 5,9

Τό «φιλοτιμούμεθα»[3] τέθεικεν πολλὴν ἐμφαίνων σπουδὴν ἣν περὶ τοῦτο ἐπιδείκνυσθαι ἡμᾶς βούλεται.

## Β′ Κορ. 5,11

Ἀπὸ τοῦ «εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου»[4] καθαπτόμενος αὐτῶν παρενέθηκεν, λοιπὸν **[897]** δὲ τὰ ἀκόλουθα τοῖς προκειμένοις **199** ἀποδέδωκεν· καὶ γὰρ συνεχόμεθα, φησίν, ὑπὸ τῆς περὶ τὸν Χριστὸν ἀγάπης[5] εἰς τὸ πάντα πράττειν κατὰ τὸ δοκοῦν αὐτῷ.

## Β′ Κορ. 6,6

Ἵνα εἴπῃ· καὶ περὶ τοὺς ἀγνώστους καὶ περὶ τοὺς γνωρίμους σπουδάζοντες εἶναι μακρόθυμοι· «ἁγνότητι»[6] γάρ, οὐχ ἁγνείᾳ ἀλλ᾽ ἀγνοίᾳ φησίν.

## Β′ Κορ. 7,8

Προάγομαι, φησί, περὶ πάντων γράφειν καὶ ὧν οὐδένα ποιοῦμαι λόγον, εἰς μείζονα διάθεσιν ὑμᾶς τῇ βαρύτητι τῶν ῥημάτων ἐξελκόμενος.

---

**1.** Β′ Κορ. 4,7. **2.** Β′ Κορ. 4,14. **3.** Β′ Κορ. 5,9. **4.** Β′ Κορ. 5,11. **5.** Πρβλ. Β′ Κορ. 5,14. **6.** Β′ Κορ. 6,6.

## Β′ Κορ. 8,23

Τὸ δέ «εἴτε» καί «εἴτε»[1] ἐνταῦθα οὐ κατ' ἀκρίβειαν διαιρέσεώς τινος ἕνεκεν τέθειχεν ἀλλὰ συνήθως, ἀδιαφορίαν πολλὴν ἐπὶ τῆς φράσεως ἐνδειχνύμενος.

## Β′ Κορ. 10,3-4

«Σάρκα» πᾶν τὸ πρόσκαιρον λέγει καὶ εὐδιάλυτον. Ἐπειδὴ τοίνυν τῆς κατὰ νόμον ἀγωγῆς τὰ προστάγματα θνητοῖς ἁρμόζειν δύναται μόνον κατὰ τὸν παρόντα βίον — ἐπὶ γὰρ τοῦ μέλλοντος αἰῶνος ὅτε πάντες ἄφθαρτοί τε καὶ ἀθάνατοι μέλλομεν εἶναι, οὐδεμία τούτων φυλακὴ τῶν νομίμων παρείσδυσιν ἔχει — «κατὰ σάρκα» λέγει «περιπατεῖν»[2] τὸ κατὰ νόμον ζῆν. Καὶ πάλιν φησίν· εἰς γὰρ καὶ θνητοὶ ἔτι τυγχάνομεν, ἀλλ' οὐ θνητὴν στρατιὰν στρατευόμεθα.

## Β′ Κορ. 10,5-6

Ἀντὶ τοῦ ἐπὶ τῷ πληρωθῆναι ὑμῶν τὴν ὑπακοήν[3]· βούλεται γὰρ εἰπεῖν ὅτι καὶ τοὺς ἀπειθεῖς εἴτε τῶν ἀλλοτρίων εἴτε καὶ τῶν οἰκείων τιμωρούμεθα ταῖς τοῦ Πνεύματος ἐνεργείαις, ἐπὶ τῷ διὰ πάντων ὑμῶν τῶν πιστευόντων τὴν ὀφειλομένην τῷ Χριστῷ πληροῦσθαι ὑπακοήν[4].

## Β′ Κορ. 11,29

«Ἀσθενοῦντας» μὲν λέγει τοὺς ἁμαρτάνοντας, οἷον εἰπεῖν ὡς τὸν παρὰ Κορινθίοις ἡμαρτηκότα· «σκανδαλιζομένους»[5] δὲ τοὺς ἐν αὐτῷ τῷ τῆς εὐσεβείας παρατρεπομένους λόγῳ.

## Β′ Κορ. 12,1-4

**200** Ἐπειδὴ τοῦ Θεοῦ δείκνυται τὰ γενόμενα, φησίν· «ὑπὲρ τοῦ τοιούτου καυχήσομαι»[6]. Εἰ δὲ ὑπὲρ ἐμαυτοῦ καυχᾶσθαι ἀναγ-

---

**1.** Β′ Κορ. 8,23. **2.** Β′ Κορ. 10,3. **3.** Πρβλ. Β′ Κορ. 10,6. **4.** Πρβλ. Β′ Κορ. 10,5. **5.** Β′ Κορ. 11,29. **6.** Β′ Κορ. 12,5.



καζοίμην, τὰς ἀσθενείας προβαλοῦμαι μόνον. Τὸ δέ «ἤκουσεν»[1] ὡς ἀπὸ τῆς ἀποκαλύψεως εἶπεν, ὡς ἂν δίκην ἀκοῆς τὴν γνῶσιν αὐτῶν δεξάμενος, οἷόν ἐστι τὸ τοῦ Προφήτου· «τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;»[2]. «Ἀκοήν» λέγοντος τὴν ἀποκάλυψιν δι' ἧς ὥσπερ διά τινος ἀκοῆς τῶν προσηκόντων τὴν γνῶσιν ἐλάμβανεν. Τὰ δέ «ῥήματα»[3] πράγματα εἶναί φησιν· ἑωρακέναι γὰρ αὐτὸν τοῦ Παραδείσου τὸ κάλλος εἰκός, καὶ τὰς ἐν ἐκείνῳ τῶν Ἁγίων χορείας καὶ τὴν παναρμόνιον τῆς ὑμνῳδίας φωνήν.

## Β′ Κορ. 13,11

Ταῦτα οὐχ ὡς συμβουλεύων ἀλλ' ἐπευχόμενος αὐτοῖς φησιν, ἀντὶ τοῦ εἴη ὑμᾶς χαίρειν[4], προκόπτειν καὶ τὰ ἑξῆς.

---

**1.** Β′ Κορ. 12,4. **2.** Ἡσ. 53,1. **3.** Β′ Κορ. 12,4. **4.** Πρβλ. Β′ Κορ. 13,11.

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΑΣ ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ*

## ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΓΑΛΑΤΑΣ

### Γαλ. 1,4-5

**5 [897]** Αἰὼν δέ ἐστιν οὐ φύσις ἐν ὑποστάσει γνωριζομένη, ἀλλὰ διάστημα ὅπως ποτὲ ἐπι**[900]**νοούμενον χρόνου εἴτε μικρὸν εἴτε μέγα· μικρὸν μὲν ὡς **6** ὅταν τὴν ἡμετέραν ζωὴν οὕτως καλῇ· «ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου»[1]. Μέγα δὲ ὡς ὅτε τὸ πᾶν διάστημα οὕτως λέγει τὸ ἀπὸ τῆς τοῦ κόσμου καταβολῆς ἄχρι τῆς Δευτέρας τοῦ Χριστοῦ Παρουσίας ἐπὶ συντελείᾳ τοῦ παρόντος βίου γινομένης νοούμενον. Περὶ οὗ ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριός φησιν· «Ἰδοὺ ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος»[2]. Ὃν δὴ καὶ ἐνεστῶτα αἰῶνα[3] ὁ Ἀπόστολος λέγει· οὕτως καλῶν αὐτὸν ὡς ἂν ἐν αὐτῷ τὴν παροῦσαν ταυτηνὶ ζωὴν ζώντων ἡμῶν. Πῶς οὖν ἂν γένοιτο διάστημα, ὃ μηδὲ ἐν ὑποστάσει θεωρεῖται, ἢ καλὸν ἢ κακὸν **7** κατὰ φύσιν; Ἀλλ᾽ ὅπερ βούλεται εἰπεῖν ὁ Ἀπόστολος τοῦτό ἐστιν. Ὁ πρῶτος ἄνθρωπος ὡς ἐγένετο, εἰ μὲν ἀθάνατος ἔμεινεν, ἐνεστὼς βίος οὐκ ἂν ἦν, ἅτε δὴ τέλος οὐκ ἔχων· ἐπειδὴ δὲ θνητὸς ἐγένετο διὰ τὴν ἁμαρτίαν, ἐνεστὼς καλεῖται βίος ὡς εἰκὸς ἡ παροῦσα ζωὴ πρὸς τὴν μέλλουσαν ὕστερον. Ἐν ταύτῃ μὲν οὖν καὶ ἁμαρτάνειν ἐπιδεχόμεθα, ὅθεν καὶ νομίμων ἡμῖν χρεία· ἐπὶ δέ γε τοῦ μέλλοντος αἰῶνος οὐδὲ διατάξεως χρεία ἡμῖν τινος, ἐπείπερ ἔξω πάσης ἁμαρτίας τῇ τοῦ Πνεύματος χάριτι φυλαττόμεθα.

---

* Κατὰ τὴν ἔκδοσιν H. B. Swete, Theodori episcopi Mopsuesteni in epistolas B. Pauli commentarrii, τ. 1 Galatians - Colossians, σσ. 5-311, τ. 2 Thessalonians - Philemon, σσ. 2 - 281, Cambridge 1880 - 1882, 1969[2] (J. - P. Migne, PG 66,897-949).

**1.** Ψαλ. 89,8. **2.** Ματθ. 28,20. **3.** Πρβλ. Γαλ. 1,4.



Βούλεται τοίνυν εἰπεῖν ὅτι δέδοται μὲν ὁ νόμος, ἁμαρτία δὲ οὐκ **8** ἀνῄρητο, ἀλλὰ γὰρ καὶ σφόδρα ἡμῖν ἐπολιτεύετο· ἐπειδὴ γὰρ ἑκάστοτε παραβαίνομεν, ποτὲ μὲν ταῦτα ποτὲ δὲ ἐκεῖνα παρὰ τὴν τοῦ νόμου διαπραττόμενοι διάταξιν, καὶ ἦν οὐδὲν τὸ τοῦ ἁμαρτάνειν ἡμᾶς ῥυόμενον, ἀλλ᾽ αὐτὴ ἡ τῆς φύσεως ἀσθένεια καθεῖλκεν ἐπὶ τὸ πταίειν· ὁ δέ γε Χριστὸς ἀποθανὼν ὑπὲρ ἡμῶν καὶ ἀναστάς, παρασχόμενος δι᾽ αὐτοῦ καὶ ἡμῖν τὴν τῆς ἀναστάσεως μετουσίαν, ἀπήλλαξεν ἡμᾶς τῆς τοῦ παρόντος βίου ζωῆς, ἐν ᾗ πολλὰ τῶν οὐ προσηκόντων διαπραττόμεθα· καὶ κατέστησεν ἐπὶ ἐλπίδι τῆς μελλούσης ζωῆς, λοιπὸν ἀθάνατοί τε καὶ ἀπαθεῖς διαμένοντες καὶ ἔξω πάσης ἁμαρτίας· ὃ μηδαμῶς παρασχεῖν ἡμῖν ὁ νόμος ἐξίσχυσεν. Ὃ καὶ καλῶς ἐπισφίγγων προσέθηκεν· «κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν».[1]

### Γαλ. 1,6-8

**9 [901]** Διὰ πάντων ηὔξησεν τὴν ἀτοπίαν τῆς μεταβολῆς· τὸ οὕτως εἰπών, πολλὴν ἔχον τὴν ἔνδειξιν· καὶ τὸ ταχέως ἐπισυνάψας. Καὶ τὸ μετατίθεσθε προστεθεικώς, οὐ μετάγεσθε· ὡς ἐπὶ ἀψύχων φησὶν μετατίθεσθε.

**10** «Εἰς ἕτερον εὐαγγέλιον»[2]· ἵνα δοκῇ παντελὴς εἶναι εὐσεβείας μετάθεσις. Καὶ ἵνα μὴ δόξῃ συγχωρεῖν ἕτερον Εὐαγγέλιον εἶναι· «ὃ οὐκ ἔστιν ἄλλο». Πῶς οὖν εἴπας ἕτερον; «Εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς, καὶ θέλοντες μεταστρέψαι τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ»[3]. Τὴν ἀπὸ τοῦ ὄντος Εὐαγγελίου μεταβολὴν ἕτερον εἰπὼν εὐαγγέλιον. Εἶτα ἐπειδὴ τὰ τῶν Ἀποστόλων πρόσωπα προεβάλλοντο· [ἀλλὰ καὶ ἐὰν ἡμεῖς]· ὥστε δεῖξαι ὅτι οὐχ ἑαυτὸν ἐκείνων προτιμᾷ ἀλλὰ τὴν ἀλήθειαν, ἧς ἐκτὸς οὐδὲ ἑαυτὸν εἶναί τι νενόμικεν. Ὅθεν αὐτὸ καὶ ἐπαύξων ἔλεγεν· «Ἢ ἄγγελος ἐξ οὐρανοῦ»[4] ἵνα μηδὲ ἡ τοῦ τόπου ἀξιοπιστία **11** μετὰ τοῦ προσώπου συναφθεῖσα ἀντίρροπος τῆς ἀληθείας εἶναι νομίζηται.

---

**1.** Γαλ. 1,4. **2.** Γαλ. 1,6. **3.** Γαλ. 1,7. **4.** Γαλ. 1,8.

## Γαλ. 1,15

**13** Καλῶς αὐτὸ ἐπὶ τὴν πρόγνωσιν ἀνήνεγκεν τοῦ Θεοῦ[1], ὥστε καὶ πρὸ τῆς αὐτοῦ ὑπάρξεως φαίνεσθαι τῷ Θεῷ τοῦτο δεδογμένον· τοσοῦτον ἀποδέον τοῦ καινότητα εἶναί τινα καὶ εὕρεσιν ἀνθρώπων τὸ κήρυγμα.

## Γαλ. 2,19

**34 [904]** Ἐπειδὴ ἐν τῷ Βαπτίσματι τοῦ τε θανάτου καὶ τῆς ἀναστάσεως τύπον ἐπλήρουν, συσταυροῦσθαι ἐλέγοντο τῷ Χριστῷ, ὡς ἂν αὐτοῦ μὲν διὰ Σταυροῦ τὸν θάνατον δεξαμένου καὶ ἀναστάντος· αὐτοὶ δὲ κατὰ τύπον τοῦ Βαπτίσματος ἐν τοῖς ὁμοίοις γιγνόμενοι ἐπ' ἐλπίδι τοῦ καὶ πάντη ποτὲ μετασχεῖν τῶν ὁμοίων, ὅταν τῆς κοινῆς πάντων ἀναστάσεως ἐν τῇ τοῦ αἰῶνος συντελείᾳ τὸν καιρὸν παρεῖναι συμβαίνῃ.

Τοῦτο οὖν λέγει, ὅτι «συνεσταύρωμαι» (φησίν) «τῷ Χριστῷ»[2], οὐδεμίαν πρὸς τὴν παροῦσαν ταύτην ζωὴν κοινωνίαν ἔχων, ἐν ᾗ κατὰ νόμον πολιτεύεσθαι ἡμᾶς ἀνάγκη.

## Γαλ. 3,3

**38** Δεξάμενοι τὸ πνεῦμα ἐπ' ἐλπίδι τῆς ἀναστάσεως καὶ τῆς ἀθανασίας, ὅτε χάριτι πάσης ἐκτὸς ἁμαρτίας ἐσόμεθα, αὖθις ὡς θνητοί τινες ὑπὸ τὴν τοῦ νόμου φυλακὴν ἑαυτοὺς ποιεῖτε;[3]

## Γαλ. 3,12-13

**42** Ἄλλως τε καὶ περιττὴ λοιπὸν ἡμῖν ἡ τοῦ νόμου τήρησις, φησίν. Ὃ γὰρ ὠφείλετο τῷ νόμῳ χρέος τῆς φυλακῆς παρὰ τῶν ἀνθρώπων, τοῦτο «ὁ Χριστός» κατέβαλεν ὑπὲρ ἡμῶν[4]. Μετὰ γὰρ πάσης αὐτὸν τῆς ἀκριβείας πληρώσας, καὶ ὥσπερ τινὰ λύτρα καταβαλὼν ὑπὲρ ἡμῶν, «ἐξηγόρασέν τε ἡμᾶς» τῆς ἐκεῖθεν δουλείας,

**1.** Πρβλ Γαλ. 1,15. **2.** Γαλ. 2,29. **3.** Πρβλ. Γαλ. 3,3. **4.** Πρβλ. Γαλ. 3,12.



καὶ τῆς ἀπὸ τοῦ νόμου κατάρας ἀπήλλαξεν. Πῶς καὶ τίνι τρόπῳ; «Γενόμενος ὑπὲρ ἡμῶν κατάρα»[1].

## Γαλ. 3,16-18

**45** Ἡ πρὸς τὸν Ἀβραὰμ φωνὴ ἐπαγγελίας ἐστίν, φησίν. Ὁ δὲ νόμος κατορθῶσαι ἀπαιτεῖ, καὶ τότε δίδωσιν τὸν μισθόν· ὥστε εἰ μὲν ἀπὸ τοῦ νόμου ταῦτα περιμένομεν, περιττὴ ἡ ἐπαγγελία· ὁ γὰρ ἡμέτερος κάματος καὶ οὐχ ἡ τοῦ Θεοῦ ἐπαγγελία τὸν μισθὸν ἡμῖν ἀποδίδωσιν· εἰ δὲ ἡ ἐπαγγελία γεγένηται τὴν τοῦ ὑποσχομένου χάριν ἐμφαίνουσα, οὐκ ἄρα ἡ τοῦ νόμου κατόρθωσίς ἐστιν, ἀλλ' ἡ τοῦ Θεοῦ ὑπόσχεσις ἡ τὴν κοινωνίαν ἡμῖν τῆς εὐλογίας χαριζομένη.

**46** Τὸ δέ «τῷ σπέρματι αὐτοῦ»[2] εἰρημένον οὕτως ἁπλῶς εὑρίσκομεν ἐπὶ τοῦ Χριστοῦ ἀκριβῶς πληρούμενον· οὗτος γὰρ σπέρμα μὲν αὐτοῦ κατὰ φύσιν, ὡς οὖν καὶ οἱ λοιποὶ οἱ τὸ γένος ἐκεῖθεν κατάγοντες[3]. Πιστεύομεν δὲ ἐπ' αὐτόν, εἶτα καὶ τὸν Ἀβραὰμ πατέρα ἐπιγραφόμεθα καὶ οὕτως τῆς εὐλογίας τὴν κοινωνίαν δεχόμεθα ὥστε τὸ εἰρημένον «ὡς ἐφ' ἑνός», δυνάμενον δὲ κατὰ κοινοῦ «ὡς ἐπὶ πολλῶν» νοεῖσθαι, τῷ σπέρμα αὐτοῦ εἶναι πάντας τοὺς ἐκεῖθεν τὸ γένος κατάγοντας, ἐπὶ τοῦ Χριστοῦ κυρίως ἐπ' αὐτῶν πληρούμενον τῶν πραγμάτων εὑρίσκομεν»[4].

## Γαλ. 3,19

**47** Καθ' ὑπόκρισιν ἀναγνωστέον. Ἀλλὰ τοῦτο ἐρωτᾷς· τίς ἡ τοῦ νόμου χρεία, εἴπερ δὴ τὴν ἐπαγγελίαν καὶ τὴν χάριν ἔδει κρατεῖν; «Τῶν παραβάσεων χάριν προσετέθη ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται»[5]. Τοῦτο δὲ παρέγκειται· ἡ γὰρ ἀκολουθία· «τί οὖν ὁ νόμος; τῶν παραβάσεων χάριν προσ**48**ετέθη, διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου»[6]· ἵνα ᾖ «διαταγείς» ἐπὶ τοῦ νόμου νοούμενον.

**1.** Γαλ. 3,13. **2.** Γαλ. 3,16. **3.** Πρβλ. Γαλ. 3,17. **4.** Πρβλ. Γαλ. 3,18. **5.** Γαλ. 3,19. **6.** Ἔνθ' ἄν.

## Γαλ. 3,21-22

Εἰ γὰρ τοιαύτη τις δύναμις τῷ νόμῳ προσῆν, ὥστε τοὺς ὑπ' αὐτῷ πολιτευομένους καὶ δικαιοῦσθαι καὶ τῆς αἰωνίου δύνασθαι τυγχάνειν ζωῆς, ἀναιρετικὸς ἦν τῆς ἐπαγγελίας ὁ νόμος, αὐτὸς ἀντ' ἐκείνης τὴν δικαίωσιν παρέχων·[1] νυνὶ δὲ τὸ ἐναντίον, ἀπαγορεύων μὲν τὴν ἁμαρτίαν, ἀπαλλάττειν δὲ αὐτῆς οὐχ ἰσχύων τοὺς διὰ τὴν τῆς φύσεως ἀσθένειαν καταπίπτοντας εἰς αὐτήν, καὶ διὰ τούτου μειζόνως ἐλέγχων ἡμῶν τὸ πρὸς δικαίωσιν ἄτονον, μᾶλλον δὲ πάντη ἀδύνατον, ἀναγκαίως τῆς τοῦ Χριστοῦ χάριτος δεομένους δείκνυσιν ἡμᾶς[2].

## Γαλ. 3,23

**[905]** Ἐπισημαντέον ἐκεῖνο, ὅτι τῶν κατὰ Χριστὸν ποιεῖται μὲν ἀπὸ τῶν **52** μελλόντων ὡς εἰκὸς τὴν ἀπόδειξιν, ἐπειδὴ πᾶσα τῶν παρ' αὐτοῦ κατορθωμάτων ἡμῖν ἡ φανέρωσις ἐπὶ τῶν πραγμάτων γίνεται τότε.

Καλεῖ δὲ πίστιν[3] μέν, ἐπειδὴ μηδέπω γεγονότες ἐπὶ τῶν πραγμάτων, πιστεύομεν τέως περὶ αὐτῶν, ἐπαγγελίαν δέ, ὡς ἂν τὴν περὶ αὐτῶν ὑπόσχεσιν ἤδη κεκομισμένων ἡμῶν, καὶ χάριν δὲ εἰκότως αὐτὰ ὀνομάζει μάλιστα, ἐπειδὴ δωρεὰ σαφής τις τοῦ Θεοῦ ἐστιν τὰ διδόμενα, οὐχ ἀπὸ τῆς ἡμετέρας ἀξίας, ἀλλ' ἀπὸ τῆς αὐτοῦ φιλοτιμίας ἔχοντα τὴν ἀρχήν· ἀντιπαρεξετάζει δὲ τὸν νόμον πᾶσιν εἰκότως.

## Γαλ. 3,25-26

**55** Ἀντὶ τοῦ εἰπεῖν τέλειοι· τοῦτο γὰρ ἀκόλουθον πρὸς τό «ὑπὸ παιδαγωγόν»[4], τό «υἱοὶ Θεοῦ» εἰπεῖν. Τῷ γὰρ Υἱῷ τοῦ Θεοῦ οὐδὲν λείπει πρὸς τελειότητα.

## Γαλ. 3,27-28

**57** Τῆς παρούσης ζωῆς ἀρχὴ μὲν τοῖς πᾶσιν ὁ Ἀδάμ εἷς δὲ ἄνθρωπος οἱ πάντες ἐσμὲν τῷ λόγῳ τῆς φύσεως, πρὸς γὰρ δὴ τὸ

**1.** Πρβλ. Γαλ. 3,21. **2.** Πρβλ. Γαλ. 3,22. **3.** Πρβλ. Γαλ. 3,23. **4.** Γαλ. 3,25.



κοινὸν ὡσπερεὶ μέλους τάξιν ὁ καθεὶς ἡμῶν ἐπέχει· οὕτως δὴ καὶ ἐπὶ τῆς μελλούσης ζωῆς ἀρχὴ μὲν ὁ Χριστός[1], πάντες δὲ οἱ κοινωνοῦντες αὐτῷ τῆς ἀναστάσεως καὶ τῆς μετὰ τὴν ἀνάστασιν ἀθανασίας ὥσπερ εἷς γινόμεθα πρὸς αὐτόν, τῇ ὁμοιότητι τοῦ πράγματος μέλους τάξιν πρὸς τὸ κοινὸν τοῦ καθ' ἕνα ἡμῶν ἐπέχοντες. Τότε τοίνυν οὔτε «ἄρσεν οὔτε θῆλυ» θεωρεῖται, οὐ γάρ ἐστιν γαμῆσαι ἢ γαμηθῆναι· «οὔτε Ἰουδαῖος οὔτε Ἕλλην», οὐδὲ γὰρ περιτομὴ ἐν ἀθανάτῳ φύσει χώραν ἔχει, ὥστε διακριθῆναι περιτετμημένου ἀκρόβυστον· «οὔτε δοῦλος οὔτε ἐλεύθερος»[2], πᾶσα γὰρ ἀνωμαλία πραγμάτων ἀνῄρηται.

**58** Ἐπειδὴ τοίνυν κατὰ τύπον διὰ τοῦ Βαπτίσματος ἐν ἐκείνοις γινόμεθα, τοῦτο λέγει.

## Γαλ. 3,29

**59** Εἰ γὰρ ὑμεῖς τοῦ Χριστοῦ σῶμα διὰ τὴν ἐπὶ τοῦ Βαπτίσματος ἀναγέννησιν τύπον ἔχουσαν τῆς τότε παρεσομένης ὑμῖν πρὸς αὐτὸν ὁμοιότητος, ὁ δὲ Χριστὸς τοῦ Ἀβραὰμ σπέρμα[3]· ἀνάγκη καὶ ὑμᾶς, τὸ ἐκείνου σῶμα, τούτου εἶναι σπέρμα οὗπερ δὴ κἀκεῖνος· ὅθεν εἰκότως καὶ τῆς ἐπαγγελίας κληρονόμοι.

## Γαλ. 4,1-3

**61** Οὐσίᾳ μὲν ὑπέθετο τὴν ἀρετὴν ὁ Ἀπόστολος, τῇ περὶ τὸν Θεὸν ἀγάπῃ καὶ τῇ περὶ τὸν πλησίον γνωριζομένῃ, χρῆσιν δὲ αὐτῆς οὐχ εἰς δέον, τῷ τἀναντία διαπραττομένους ἀφανίζειν αὐτῆς τὴν ὑπόστασιν[4]. Ἀπὸ ἐπιτρόπους τοίνυν καὶ οἰκο**[908]**νόμους γεγόναμεν[5], ἵνα ἡ συνεχὴς τούτων παρατήρησις εἰς ὑπόμνησιν ἄγῃ πάντοτε ἡμᾶς τοῦ δεδωκότος Θεοῦ τοὺς νόμους[6], καὶ οὕτως σωφρονέστερον βιοῦντες μὴ τὴν παραδοθεῖσαν ἡμῖν παραφανίζωμεν οὐσίαν, ἄχρις ἂν ἡ τότε ἐπιστᾶσα τελειότης βεβαίαν καὶ ὁλοτελῆ τῆς οὐσίας παράσχῃ τὴν ἀπόλαυσιν, ἅτε δὴ καὶ φυλάττειν τότε ἀκέραιον τὴν πατρῴαν δυναμένοις κληρονομίαν.

**1.** Πρβλ. Γαλ. 3,27. **2.** Γαλ. 3,28. **3.** Πρβλ. Γαλ. 3,29. **4.** Πρβλ. Γαλ. 4,1. **5.** Πρβλ. Γαλ. 4,2. **6.** Πρβλ. Γαλ. 4,3.

## Γαλ. 4,6-7

**63** Ἠκολούθει τότε τῇ δόσει τοῦ Πνεύματος τὰ γινόμενα θαύματα, ὅπερ ἀναμφίβολον αὐτοῖς τὴν δόσιν ὡς εἰκὸς ἐποίει τοῦ Πνεύματος· ἐντεῦθεν δὲ καὶ τὸ τῆς υἱοθεσίας μετειληφέναι ἐπίστευον[1]. Ὅθεν καὶ αὐτὸς θαῤῥήσας τῷ ἰσχυρῷ τῆς ἀποδείξεως, ὡς ἅτε δὴ ἀπὸ τῶν πραγμάτων εἰλημμένῳ τῶν καὶ παρ' αὐτοῖς ἀναμφιβόλων ἐπάγει· «ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ»[2]. Οὕτως οὐδεμία σοι (φησίν) πρὸς τοὺς ὑπὸ νόμον ζῶντας κοινωνία λοιπόν.

## Γαλ. 4,15

**67** Τὸ οὖν «τίς» ἐνταῦθα ἀντὶ τοῦ ποῦ «ὁ μακαρισμός;» οἴχεται, ἀπώλετο, καλῶς οὐκ ἀποφηνάμενος, ἀλλὰ δι' ἐρωτήσεως ἐνδειξάμενος.

## Γαλ. 4,19

**70** Τὸ δέ «πάλιν», ὥστε τῶν παλαιῶν ὠδίνων ἀγαγεῖν εἰς μνήμην· τὸ δέ «ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν»[3], ἐπίτασιν ἔχει τοῦ πάθους, οὐδὲ γὰρ εἰδότος ἐστὶν ποῦ ποτε στήσεται αὐτῷ τὰ τῶν ὠδίνων.

## Γαλ. 4,20

**71** Καλὴ δὲ καὶ ἡ πρὸς ἐκείνους ἀποστροφὴ τῶν λόγων· διὰ γὰρ πάντων φαίνεται ὁ Ἀπόστολος ὑπὸ τῆς τῶν γεγονότων ὀργῆς συνεχεῖς τὰς μεταβολὰς δεχόμενος, καὶ τὰ μὲν πρὸς τούτους ἀγανακτῶν[4], τὰ δὲ πρὸς ἐκείνους, τὸ δὲ καὶ ἀλγῶν ὡς ἐπὶ τέκνοις ἀπολω**72**λόσιν καὶ ὅλως ἀκριβῶς τις σκοπούμενος, πολλὴν ἴδοι ἂν ἐν τοῖς γεγραμμένοις τῶν παθῶν τὴν ἐναλλαγήν.

## Γαλ. 4,24

**76** [Ὥσπερ γὰρ τὰ διὰ Μωυσέως δοθέντα ὑπὸ τὸν νόμον] ἐβούλετο **77** πολιτεύεσθαι [τοὺς αὐτὸν παρειληφότας], καὶ τὴν

**1.** Πρβλ. Γαλ. 4,6. **2.** Γαλ. 4,7. **3.** Γαλ. 4,19. **4.** Πρβλ. Γαλ. 4,20.



ἐκεῖθεν δικαίωσιν δέχεσθαι οὕτως καὶ τῶν κατὰ Χριστὸν ὁ σκοπὸς οὗτος ἦν καὶ τὸ τέλος, λυθῆναι μὲν τὸν θάνατον, ἀναστάντας δὲ ἅπαντας τοὺς πώποτε γεγονότας ἀνθρώπους ἐν ἀθανάτῳ διάγειν τῇ φύσει, μηδαμῶς ἁμαρτεῖν ἐπιδεχομένους ἔτι διὰ τὴν ἐνοῦσαν αὐτοῖς ἔτι τότε χάριν τοῦ Πνεύματος.

**78** Ἔστιν δὲ ἀκολουθία μὲν γινομένη φύσεως, ἡ εἰς τόνδε τὸν βίον τῶν τικτομένων πάροδος ἐφ' οὗ τὴν κατὰ νόμον πολιτείαν χώραν ἔχειν συμβέβηκεν. Χάριτος δὲ ἡ γέννησις ἐκείνη καθ' ἣν ἀνιστάμενοι πάντες εἰς τὴν μέλλουσαν ζωὴν ἀποτίκτονται.

**79** Ἀλληγορίαν[1] ἐκάλεσεν τὴν ἐκ παραθέσεως τῶν ἤδη γεγονότων πρὸς τὰ παρόντα σύγκρισιν.

## Γαλ. 4,25

**80 [909]** Ἀραβία τὸ παλαιὸν οὐχ ἡ νῦν οὕτως ὀνομαζομένη μόνον ἐλέγετο, ἀλλὰ γὰρ ἥ τε ἔρημος πᾶσα καὶ τὰ περὶ αὐτὴν οἰκούμενα μέρη, καὶ μὴν καὶ τῆς Αἰγύπτου μέρος οὐκ ἐλάχιστον.

**81** [Ὃ γὰρ εἶπεν «συστοιχεῖ τῇ νῦν Ἱερουσαλήμ»[2]], περὶ τῆς Ἄγαρ [λέγει· ἵνα εἴπῃ] ὅτι τῇ παρ' ἡμῖν Ἱερουσαλήμ, τουτέστιν τῇ κατὰ τὸν **82** βίον τοῦτον θεωρουμένῃ, ἰσοδυναμεῖ ἡ Ἄγαρ, ταύτην ἡμῖν τὴν τάξιν ἐπεχούσης τῆς νῦν Ἱερουσαλήμ, ἐφ' ἧς τὰ τῆς Διαθήκης ἐκείνης νόμιμα πληροῦται πρὸς τὰ προσδοκώμενα, ὧν δὴ καὶ τεύξεσθαι ἐπὶ τοῦ μέλλοντος ἐλπίζομεν αἰῶνος, ἣν ἐπεῖχεν ἡ Ἄγαρ πρὸς τὴν Σάῤῥαν κρινομένη. Τὸ μέντοι «δουλεύει μετὰ τῶν τέκνων αὐτῆς»[3], οὐ περὶ τῆς Ἄγαρ λέγει, ἀλλὰ περὶ τῆς ἐν τῷ Σινᾶ δοθείσης Διαθήκης.

## Γαλ. 4,29

**85** Οὐ τὸ τῆς πίστεως καὶ τῆς ἐπαγγελίας μόνον ἐντίθησιν ὄνομα, ἀλλὰ γὰρ καὶ τὸ τοῦ Πνεύματος· ἅτε δὴ προσδοκώντων ἡμῶν τῇ μετουσίᾳ τοῦ Πνεύματος τὴν ἀπόλαυσιν δέξασθαι τῶν μελλόντων· οὑτωσὶ δὲ καὶ ἐπὶ τῶν κατὰ νόμον τὸ τῆς σαρκός, ἅτε δὴ κατὰ τὸν παρόντα τουτονὶ βίον χρησιμεύειν τοῦ νόμου δυναμένου· σάρ-

**1.** Πρβλ. Γαλ. 4,24. **2.** Γαλ. 4,25. **3.** Ἔνθ' ἄν.

κα γὰρ τὸ πρόσκαιρον καὶ εὐδιάλυτον λέγει, ὅταν μὴ τὴν ἡμετέραν ὀνομάζῃ φύσιν.

[«Οὕτως καὶ νῦν»[1]] οἱ τοῦ νόμου προεστάναι δῆθεν βουλόμενοι, τὰ τῆς χάριτος ἀπελαύνουσιν.

Γαλ. 4,30

**86** Οὐδὲ γάρ ἐστίν τις κοινωνία τῶν παρόντων καὶ τῶν μελλόντων· οὐδ' ἔχει χώραν τὰ νόμιμα ἐπὶ τῆς καθ' ἡμᾶς διαίτης, ἣν κατὰ τύπον πληροῦμεν τῆς ἀναστάσεως.[2] Καὶ λοιπὸν ὡς ἐπὶ τῶν προκειμένων ἐπισυλλογίζεται.

Γαλ. 5,8

**91** Τῆς χάριτος Θεοῦ ἦν τὸ καλέσαι[3], τὸ δοῦναι τοῦ Πνεύματος τὴν χάριν, ὑποσχέσθαι τὰ μέλλοντα· τὸ μέντοι μένειν βεβαίους ἐπὶ τῆς πίστεως οὐχ ἦν ἐκείνου, ἀλλ' ὑμέτερον.

Γαλ. 5,15

**97** Εἰ μέλλετε πρὸς ἀλλήλους οὕτως φιλονεικεῖν ἀνενδότως, οὐ μόνον οὐδὲν ὠφελεῖτε τοὺς ἁμαρτάνοντας, ἀλλὰ γὰρ τοὐναντίον ἔξω παντελῶς γενέσθαι αὐτοὺς τῆς εὐσεβείας παρασκευάζετε ὃ καὶ καλῶς ἀναλίσκεσθαι[4] ἐκάλεσεν, ἅτε δὴ μείωσιν ἐργαζομένων τῷ κοινῷ τῶν τῆς εὐσεβείας ἀποχωρούντων.

Γαλ. 5,17

**98** Ἀναιρετικὸν μὲν θνητότητος ἀθανασία, ἀθανασία δὲ θνητότητος, οὐδὲ γὰρ συμφωνεῖ ταῦτα ἀλλήλοις· ὅθεν οὐδὲ ἡμῖν ἔξεστιν ποιεῖν ἅπερ βουλόμεθα[5], ἐπεὶ μηδὲ δυνατὸν ἐν ἐκείνοις ὄντας τὰ τῆς θνητότητος πράττειν. Τὸ γὰρ «ἵνα» οὐχ ἐπὶ αἰτίας εἶπεν, ἀλλ' ὡς ἀκόλουθον, κατὰ τὸ οἰκεῖον ἰδίωμα.

**1.** Γαλ. 4,29. **2.** Πρβλ. Γαλ. 4,30. **3.** Πρβλ. Γαλ. 5,8. **4.** Πρβλ. Γαλ. 5,15. **5.** Πρβλ. Γαλ. 5,17.



Γαλ. 6,2

**103** [Ἵνα εἴπῃ τὴν ἀγάπην· ταύτην γὰρ λέγει] «νόμον Χριστοῦ»[1]. Ἀλλὰ **104** καὶ κοινωνῆσαι [αὐτοῖς κατὰ τὸ δυνατὸν ἕκαστος ὑμῶν ὀφείλει, τὸ φορτίον αὐτῶν βαστάζων. **[912]** Καὶ πῶς ἂν γένοιτο τοῦτο;] Ὅταν διὰ παραινέσεως καὶ χρηστότητος ἐπικουφίζῃς αὐτῷ τὴν ψυχὴν ὑπὸ τῆς τοῦ ἁμαρτήματος συνειδήσεως βεβαρημένην.

Γαλ. 6,11

**107** Μέλλων καθάπτεσθαι τῶν ἐναντίων ἄγαν μείζοσιν ἐχρήσατο γράμμασιν[2], ἐμφαίνων ὅτι οὔτε αὐτὸς ἐρυθριᾷ οὔτε ἀρνεῖται τὰ λεγόμενα.

Γαλ. 6,16

**109** Ἵνα εἴπῃ ὅτι πάντες οἱ κατὰ ταῦτα προῃρημένοι τυγχάνουσιν τῶν παρ' αὐτοῦ καλῶν· τὴν μὲν εἰρήνην εἰπών, ὡς ἂν τότε πάσης λυομένης διαστάσεως· τὸ δὲ ἔλεος[3], ἐπειδὴ φιλανθρωπίᾳ ἅπαντα ἡμῖν **110** τὰ πρὸς αὐτοῦ προσγίνεται ἀγαθά. Ὅμοιον δέ ἐστιν τό «χάρις ὑμῖν καὶ εἰρήνη»[4] ἐπεὶ μηδὲ διαφέρει τὸ ἔλεος τῆς χάριτος.

Γαλ. 6,17

Ὡς εἰς πολλοὺς καμάτους ἀπὸ τῆς ἐκείνων ἐμπεπτωκὼς κακίας παλλασσέσθωσαν (φησίν) καὶ μὴ γινέσθωσαν πρόξενοι καμάτων· ἐμὲ γὰρ ἀποστῆναι τῆς τοῦ Χριστοῦ ὁμολογίας τῶν ἀδυνάτων, ὑπὲρ ἧς πολλὰ παθὼν μικροῦ κατέστιγμαι τὸ σῶμα[5].

**1.** Γαλ. 6,2. **2.** Πρβλ. Γαλ. 6,11. **3.** Πρβλ. Γαλ. 6,16. **4.** Γαλ. 1,3. Ἐφ. 1,2. Φιλιπ. 1,2. Α' Τιμ. 1,1. **5.** Πρβλ. Γαλ. 6,17.

## ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

**115 [912]** Ἐπῆλθέν μοι σφόδρα θαυμάζειν ἐκεῖνα τῶν εἰρηκότων τὸν μακάριον Ἰωάννην τὸν εὐαγγελιστὴν πρῶτον τοῖς Ἐφεσίοις παραδεδωκέναι τὸν τῆς εὐσεβείας λόγον· οὐκ ἐνενόησαν γὰρ ὡς Ἰωάννης τοὺς ὑστέρους χρόνους παρ' Ἐφεσίοις ἐγένετο, διαγενόμενος ἄχρι τῶν Τραϊανοῦ τοῦ βασιλέως καιρῶν, ἀπὸ τῶν Νέρωνος ἀρξάμενος, ἀφ' οὗ Παῦλος ἀπετμήθη τὴν κεφαλὴν καὶ ὁ Ἰουδαϊκὸς πόλεμος ἀρχὴν ἐδέξατο. Ἐπὶ τούτου γὰρ δὴ τοῦ πολέμου πάντας μὲν ἀναχωρῆσαι **116** τοὺς Ἀποστόλους τῆς Ἰουδαίας ἐγένετο· τότε δὲ καὶ Ἰωάννης εἰς τὴν Ἔφεσον γενόμενος διετέλεσεν ἐπ' αὐτῆς, ἄχρι τῶν Τραϊανοῦ διαγεγονὼς ὡς ἔφην καιρῶν. Παῦλος δὲ οὐδὲ τεθεαμένος αὐτοὺς ἐπιστέλλων φαίνεται· καταλιμπάνει δὲ Τιμόθεον μετὰ τοῦτο ἐπιστατήσοντα τῇ παρ' αὐτοῖς ἐκκλησίᾳ, γεγονὼς ἤδη παρ' αὐτοῖς ὡς εἰκός.

Τίς δὲ οὕτως ἠλίθιος ὥστ' ἂν οἰηθῆναι ὅτι παρόντος Ἰωάννου Τιμόθεον ἐπὶ τῷ τὴν ἐκκλησίαν οἰκονομεῖν κατελίμπανεν; ἔτι καὶ **117** τοῦτο πρὸς τοῖς εἰρημένοις λογίζεσθαι χρή, ὡς Ἐφεσίους ἐθεάσατο πολλῷ πρότερον ἢ ἐπὶ τὴν Ῥώμην ἀπὸ τῆς Ἰουδαίας ἀναχθῆναι ὅλως, ὡς ἐν ταῖς Πράξεσιν τῶν Ἀποστόλων μάθοι ἄν τις σαφέστερον· ὥστε φαίνεσθαι αὐτὸν πανταχόθεν πολλῷ πρότερον τῆς Ἰωάννου διατριβῆς ταῦτα γράφοντα πρὸς αὐτούς.

### Ἐφ. 1,1-2

**118** Ἐν τούτῳ κατὰ τὸ εἰωθὸς αὐτῷ τῆς ἐπιστολῆς τὴν προγραφὴν συνεπέρανεν· παραπλήσιόν τι τῇ παρ' ἡμῖν συνηθείᾳ ποιῶν· ὡς ὅταν ἐπιστέλλοντες λέγομεν, ὁ δεῖνα τῷ δεῖνι χαίρειν.

**119** Προσέθηκεν δὲ τό «διὰ θελήματος Θεοῦ»[1], ὁμοῦ τε συνδέων αὐτὰ ὡς μηδὲν διακεχρίσθαι μηδὲ ἀπεσπάσθαι δοκεῖν τοῦ Θεοῦ τῶν διὰ τοῦ Χριστοῦ γενομένων· ὁμοῦ δὲ καὶ τὸ τῆς ἀποστολῆς ἔργον ἀναγκαιότατον ἑαυτῷ πανταχόθεν δεικνύς· πλήν γε δὴ ὅτι

**1.** Ἐφ. 1,1. Κολ. 1,1. Β' Τιμ. 1,1.



σύντομον τὴν προγραφὴν ἐποιήσατο, καταλλήλως καὶ τοῦτο τῇ προθέσει τοῦ λόγου ποιῶν.

Πρόκειται γὰρ αὐτῷ τῆς τοῦ Χριστοῦ παρουσίας τὸ ὠφέλιμον εἰπεῖν ἐν εὐχαριστίας εἴδει συντόμως, οὐχ ὡς ἐπὶ τῆς πρὸς Ῥωμαίους ἐξεργαστικώτερον καὶ μετὰ τοῦ πρὸς τοὺς ἐναντίους λόγου.

### Ἐφ. 1,3

**120** Τό «εὐλογητός» ἀντὶ τοῦ ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι ἄξιος· τὸ μέντοι «ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[1] δύναται μὲν καὶ διῃρημένως λέγεσθαι, ἵν' ᾖ τὸ μέν «Θεός» κατὰ διαίρεσιν ἀπολύτως νοούμενον, τὸ δέ «Πατήρ» καθ' ἑαυτό.

**121** Εἰ δέ τις αὐτὸ ἐπισυμπλέκειν φιλονεικοίη ὡσὰν καὶ τοῦ «Θεός» καὶ τοῦ «Πατήρ» ἐπὶ τοῦ προσώπου νοεῖσθαι ὀφείλοντος τοῦ Χριστοῦ, οὐδὲ πρὸς τοῦτο μαχόμεθα.

**123 [913]** Πρόδηλον ὡς ἀπὸ τῶν μελλόντων ἔθος αὐτῷ τῶν κατὰ Χριστὸν ποιεῖσθαι τὴν ἀπόδειξιν, ἅτε δὴ τότε φαινομένων ἐπὶ τοῦ πράγματος. Νῦν γὰρ ἐν ἐπαγγελίᾳ μόνον αὐτῶν ἐσμεν διὰ πίστεως.

### Ἐφ. 1,4-5

Τοῦτο ἐπίτασιν ἔχει τοῦ προκειμένου διχόθεν, ἐπείπερ ἡμῖν ἀγάπη τῆς ἐκλογῆς μείζων, καὶ τὸ τῆς υἱοθεσίας τοῦ «ἁγίους καὶ ἀμώμους»[2].

**124**. Οἰκειότητος γὰρ ἀπόδειξιν ἔχει ταῦτα μεγίστην.

Τὸ δέ «εἰς αὐτόν» ἵνα αὐτοῦ υἱοὶ λεγώμεθά τε καὶ χρηματίζωμεν[3].

Ἵνα εἴπῃ ὅτι σφόδρα ἤρεσεν αὐτῷ ταῦτα περὶ ἡμᾶς διαπράξασθαι· ὡς γὰρ ἐν εὐχαριστίας προσχήματι λέγων αὐτά, πανταχόθεν αὔξει τῶν γεγονότων τὴν χάριν τῷ μεγέθει τῶν πραγμάτων.

**1.** Ἐφ. 1,3. **2.** Ἐφ. 1,4. Κολ. 1,22. **3.** Πρβλ. Ἐφ. 1,5.

## Ἐφ. 1,6

**125** Ὥστε (φησίν) ὑπὲρ τούτων ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι δίκαιον αὐτὸν παρ᾽ ἡμῶν, ἀνθ᾽ ὧν οἰκείᾳ χάριτι τοσαύτης ἡμῖν μετέδωκεν δόξης[1].

## Ἐφ. 1,8-10

**127** «Μυστήριον τοῦ θελήματος»[2] τοῦ Θεοῦ λέγει τὸ ἀποκεκρυμμένον αὐτοῦ θέλημα καὶ ἄδηλον τοῖς πᾶσιν· μυστήριον αὐτὸ καλῶν. Ὅπερ οὖν (φησίν) πόῤῥωθεν αὐτῷ δοκοῦν καὶ προωρισμένον ἦν, τοῦτο μετὰ πολλῆς σοφίας καὶ φρονήσεως ἐγνώρισεν ἡμῖν· ἵνα εἴπῃ· ἐπ᾽ αὐτῶν ἔδειξεν τῶν πραγμάτων.

Διὰ τί δὲ νῦν; «εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν»[3]· ἐπειδὴ κατὰ τάξιν πάντα οἰκονομεῖσθαι ἔδει. Ὅτε οὖν ἐπληρώθησαν **128** οἱ καιροὶ τῶν λοιπῶν, τότε κατὰ τὴν ἄνωθεν οἰκονομουμένην τάξιν ἐπὶ τῶν οἰκείων καιρῶν καὶ τὰ περὶ τὸν Χριστὸν ἐδείχθη.

## Ἐφ. 1,13-14

**132** Τῷ γὰρ αὐτῷ δὴ τρόπῳ (φησίν) τῶν τοῦ Εὐαγγελίου ῥημάτων ἀκούσαντες, τῇ τε πίστει προσεληλύθατε καὶ τῇ τοῦ Πνεύματος μετουσίᾳ τὴν βεβαίωσιν ἐδέξασθε· τοῦτο γὰρ λέγει τό «ἐσφραγίσθητε»[4]. Προσεγίνετο δὲ αὐτοῖς διὰ τῆς τοῦ Πνεύματος χάριτος ἡ βεβαίωσις τῶν ἀκολουθούντων ὡς εἰκὸς θαυμάτων, μειζόνως εἰς τὴν πίστιν ἐπισφίγγον αὐτούς. Καλῶς δὲ αὐτό, Πνεῦμα «τῆς ἐπαγγελίας» ἐκάλεσεν, **133** ἐπειδὴ πάντα τὰ προσδοκώμενα αὐτοῖς ἐπὶ τοῦ μέλλοντος αἰῶνος πρόσεσται ἀγαθὰ τῇ τοῦ Πνεύματος μετουσίᾳ.

Κληρονομίαν τῶν τότε καλεῖ τὴν ἀπόλαυσιν ἅτε δὴ βεβαίως αὐτοῖς διδομένων· ἀῤῥαβῶνα δὲ τῆς κληρονομίας, τὴν ἐνταῦθα δόσιν τοῦ πνεύματος, ἐπειδὴ τὰς περὶ τῶν μελλόντων ἐπαγγελίας δεχόμενοι καὶ τὴν τελείαν τοῦ Πνεύματος προσ[916]δο-

---

**1.** Πρβλ. Ἐφ. 1,6. **2.** Ἐφ. 1,9. **3.** Ἐφ. 1,10. **4.** Ἐφ. 1,13.



κῶντες μετάδοσιν, βραχεῖάν τινα, ὥσπερ οὖν εἶπον, ἀπαρχὴν τοῦ παρόντος ἐλάμβανον.

**134** «Ἀπολύτρωσιν περιποιήσεως»[1] τὸ διὰ τῆς Ἀναστάσεως καὶ τῆς ἀθανασίας τῶν ἐντεῦθεν ἀπαλλαττομένους κακῶν τὴν πρὸς αὐτὸν οἰκείωσιν λαμβάνειν· ἀφ᾽ ὧν τῆς παρ᾽ αὐτοῦ μετασχόντες δόξης εἰκότως θαυμαστὸν ἐκεῖνον ἐνδείκνυμεν τὸν τοσούτων αἴτιον ἡμῖν τῶν ἀγαθῶν γεγονότα· τοῦτο γὰρ λέγει τό «εἰς ἔπαινον τῆς δόξης αὐτοῦ».

## Ἐφ. 1,15-16

**135** Τοῦτο ἀναγκαίως προστέθεικεν οὐχ αὐτῶν μόνον ἕνεκεν, ἀλλ᾽ ὥστε καὶ μὴ δοκεῖν, ἐπιμεμφόμενον οἷς ἤδη παρέλαβον, κεχρῆσθαι τῇ πρὸς αὐτοὺς διδασκαλίᾳ[2]. Εἰ γὰρ καὶ μὴ Ἰωάννης ἀλλ᾽ ἕτερός τις τῶν εὐσέβειαν κηρυττόντων ἦν ὁ τὰ τῆς ἀληθείας δόγματα αὐτοῖς παραδούς, ἀναγκαία ἡ προσθήκη.

## Ἐφ. 1,17-18

**136** Τοῦτο αἰτῶ (φησίν) ὡς ἂν παρασχεθείη ὑμῖν παρὰ τοῦ Θεοῦ Πνεύματος χάρις εἰς τὸ σοφίας τε ὑμᾶς πληρωθῆναι καὶ ἐπιγνώσεως τοῦ Θεοῦ, δεξαμένους τῶν ἀποῤῥήτων τὴν ἀποκάλυψιν, ὥστε τὴν διάνοιαν ὑμῶν φωτὸς δίκην τῇ ἀπὸ τοῦ Πνεύματος καταλάμπεσθαι γνώσει[3]. Τίνος ἕνεκεν; «εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ»[4]· ἀντὶ τοῦ· ἐπὶ ποίαις ἐλπίσιν κεκλήμεθα παρ᾽ αὐτοῦ. «καὶ τὶς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις»· **137** καὶ ὅση τις περίεσται κτῆσις ἀγαθῶν τοῖς τοῦ Θεοῦ Ἁγίοις ἐπὶ τοῦ μέλλοντος αἰῶνος· καλῶς δὲ δόξαν μὲν κληρονομίας ἐκάλεσεν ὡς ἂν ἐπιδόξων τότε γινομένων ἡμῶν· πλοῦτον δὲ δόξης, ἵνα εἴπῃ τῶν δωρεῶν τὴν ὑπερβολήν.

## Ἐφ. 1,22-23

**141** Οὐχ εἶπεν ὅτι τὰ πάντα πληροῖ, ἀλλ᾽ ὅτι αὐτὸς ἐν πᾶσι πληροῦται[5], τουτέστιν, ἐν πᾶσιν πλήρης ἐστίν· ὅλος ὢν ἐν ἑκάστῳ

---

**1.** Ἐφ. 1,14. **2.** Πρβλ. Ἐφ. 1,15. **3.** Ἐφ. 1,17. Κολ. 1,4. Φιλιπ. 1,5. **4.** Ἐφ. 1,18. **5.** Πρβλ. Ἐφ. 1,23.

διὰ τὸ τῆς φύσεως ἀπερίγραφον, οὐ κατὰ μέρη διαιρούμενος. Ἀναγκαία δὲ καὶ ἡ τοῦ ‘τὰ πάντα’ προσθήκη, δεικνύντος ὅτι ἐν πᾶσίν ἐστιν ὅλος ὢν ἐν ἑκάστῳ καθότι ἄν τις ἐννοήσειεν, εἴτε οὐσίᾳ εἴτε ἐνεργείᾳ εἴτε δυνάμει εἴτε ἐξουσίᾳ εἴτε ὅτῳ δήποτε ἑτέρῳ, διὰ τὸ κατὰ πάντα εἶναι αὐτὸν ἀπερίγραφον· καὶ διὰ τοῦτο ἐν ἑκάστῳ ὅλον κατὰ πάντα **142** θεωρεῖσθαι, τῷ πάντα ἐν πᾶσιν εἶναί τε αὐτὸν καὶ δύνασθαι, ὡς εἰκὸς τὸν ἑκάστῳ ὅλον ὄντα.

Ἐφ. 2,8-10

**146** Ἐνταῦθα οὐ κατὰ τὴν πρώτην λέγει δημιουργίαν, ἀλλὰ κατὰ τὴν δευτέραν, καθ’ ἣν ἀνακτιζόμεθα διὰ τῆς Ἀναστάσεως[1].

**148** Ἵν’ ἅπερ ἀπὸ τῆς οἰκείας προαιρέσεως κατορθῶσαι οὐδαμῶς οἷοί τε ἐγενόμεθα τῷ τὴν φυσικὴν ἀντιπράττειν ἡμῖν ἀσθένειαν, ταῦτα δίχα πόνου παντὸς σὺν εὐμαρείᾳ πολλῇ χάριτι τοῦ πρὸς τοῦτο ἡμᾶς ἀνακτίζοντος ἐπιτελέσαι ἡμῖν ἐγγένηται[2].

Ἐφ. 2,13

**149** ‘Νῦν ὁ τοῦ Χριστοῦ θάνατος τὴν ἀνάστασιν χαρισάμενος καὶ ἕτερον ἀντὶ τοῦ παρόντος ἐπεισαγαγὼν βίον, συνῆψεν ὑμᾶς τοὺς ἀφεστῶτας πολύ’[3]. Πῶς καὶ τίνα τρόπον;

Ἐφ. 2,14-16

**150** Ὁ Χριστὸς τὴν διὰ τῆς Ἀναστάσεως ἀθανασίαν ἡμῖν παρασχών, κατέλυσεν τὴν διαίρεσιν ταύτην[4]· ἐν γὰρ ἀθανάτῳ φύσει περιτομὴ μὲν οὐ ἂν γένοιτο· τούτου δὲ οὐκ ὄντος, οὐδεμία φανήσεται ἀκροβύστου καὶ περιτετμημένου διάκρισις. Ἀλλὰ μὴν καὶ αὐτῶν τῶν ἐντολῶν τὸν νόμον[5] ἐντεῦθεν ἔπαυσεν· περιττὴ γὰρ τότε πᾶσα τοῦ νόμου διάταξις.

[Ταύτην δὲ τὴν ἔχθραν[6] ἀφεῖλεν, οὐ μόνον ἀφελὼν τὴν περι**151**τομὴν ἀλλὰ καὶ αὐτὸν τὸν νόμον παύσας] διὰ τῶν ἰδίων

**1.** Πρβλ. Ἐφ. 2,8. **2.** Πρβλ. Ἐφ. 2,10. **3.** Πρβλ. Ἐφ. 2,13. **4.** Πρβλ. Ἐφ. 2,14. **5.** Πρβλ. Ἐφ. 2,15. **6.** Πρβλ. Ἐφ. 2,16.



δογμάτων· ἵνα εἴπῃ, τῆς Ἀναστάσεως, τῆς ἀφθαρσίας, τῆς ἀθανασίας· δόγματα καλέσας ταῦτα ὡς ἐν πράγμασιν ὄντα, τῆς θείας χάριτος ἐν ἡμῖν καταπραττομένης, ὡς μηδὲ προσταγμάτων ἡμᾶς δεῖσθαι καὶ ἐντολῆς τῆς τόδε τι ποιεῖν ἢ μὴ ποιεῖν βουλομένης ἡμᾶς.

Ἐφ. 2,20-21

**153** Ἐπειδὴ εἰς ναὸν τοῦ Θεοῦ τελοῦμεν ἀμφότεροι, τῇ αὐτῇ δυνάμει τοῦ Πνεύματος διὰ τῆς ἀναγεννήσεως τὸ συντελεῖν εἰς μίαν οἰκο**154**δομὴν δεξάμενοι[1]. Τὸ δέ «ἐν ᾧ πᾶσα ἀφὴ συναρμολο**[917]**γουμένη»[2], ἵνα εἴπῃ· πᾶς λίθος ὑπὸ ἀφὴν πίπτων· ἀπό τινος ἰδιώματος οὕτως εἰπών, ἐν τάξει δηλονότι ἀνθρώπου τὸν λίθον λέγων.

Ἐφ. 3,1-4

**155** Βούλεται εἰπεῖν ὅτι ‘πάντως που ἠκούσατε τὴν παρασχεθεῖσάν μοι τῆς εἰς ὑμᾶς «χάριτος οἰκονομίαν»[3]· καὶ ὅτι κατὰ ἀποκάλυψιν ἐδεξάμην τοῦ μυστηρίου τούτου τὴν γνῶσιν[4]· περὶ οὗ δὴ καὶ γεγράφηκα ὑμῖν ὡς ἐνῆν διὰ βραχέων, ἐπὶ τῷ γνῶναι καὶ ὑμᾶς τοῦ μυστηρίου τὴν σύνεσιν’[5].

Ἐφ. 3,14-15

**159** Τινές «πατριά»[6] ἀνέγνωσαν, οὐ συνιέντες τὸ κείμενον· ἔστιν δὲ «φρατρία». Φατριὰ μὲν γὰρ ἡ συγγένεια λέγεται, φρατρία δὲ τὸ σύστημα· ἐν δὲ τοῖς οὐρανοῖς συγγένεια μὲν οὐδεμία, συστήματα δὲ καὶ πολλά. Τὸ τοίνυν «τούτου χάριν»[7] ἄνωθεν μὲν ἀποδεδωκὼς πρὸς **160** τὰ προκείμενα, διήγησιν ἔχοντα τοῦ μεγέθους τῆς περὶ ἡμᾶς χάριτος τοῦ Θεοῦ, ἐνταῦθα δὲ αὐτὸ μετὰ τὰ παρεντεθέντα ἀναλαβών, τοῦτο λέγει, ὅτι ‘ὑπὲρ τούτων ἁπάντων ὧν ἡμῖν παρέσχεν, καὶ ὡς προεῖπον οὕτως ὄντων μεγάλων καὶ θαυ-

**1.** Πρβλ. Ἐφ. 2,20. **2.** Ἐφ. 2,21. **3.** Ἐφ. 3,2. **4.** Πρβλ. Ἐφ. 3,3. **5.** Πρβλ. Ἐφ. 3,4. **6.** Ἐφ. 3,15. **7.** Ἐφ. 3,14. 3,1. Τίτ. 1,5.

μαστῶν, ἑκάστοτε προσπίπτω τῷ Πατρὶ τοῦ Χριστοῦ, ὃν ἅπαν σύστημα εἴτε ἐν οὐρανοῖς εἴτε ἐπὶ γῆς οἰκεῖον καλεῖ τε καὶ ἡγεῖται Δεσπότην'.

### Ἐφ. 3,18-19

**161** Τό «γνῶναι»[1] ἀντί τοῦ 'ἀπολαῦσαι' λέγει· ἐπὶ πραγμάτων εἰπὼν τὴν γνῶσιν, ὡς ἐν τῷ ψαλμῷ τό «ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· [πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου]»[2]· ἀντὶ τοῦ· 'ἐν ἀπολαύσει με τῆς ζωῆς κατέστησας'. Ὁμοίως δὲ καὶ τό «ἐξισχύσητε καταλαβέσθαι» τὸ ἐν ἀπολαύσει καταστῆναι τοῦ πράγματος λέγει. Καὶ τοῦτο δείκνυσιν διὰ τοῦ «σὺν τοῖς ἁγίοις». Τὸ δέ «πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος»[3], ἵνα εἴπῃ τῆς χάριτος τὸ μέγεθος ἀπὸ τῶν παρ' ἡμῶν ὀνομάτων. 'Εὔχομαι τοίνυν ὥστε ὑμᾶς συναπολαῦσαι τοῖς Ἁγίοις τῆς οὕτως μεγάλης καὶ θαυμαστῆς δωρεᾶς τοῦ Θεοῦ, ἣν πολλὴ τοῦ Χριστοῦ περὶ ἡμᾶς ἀγάπη παρέσχεν ἡμῖν'.

### Ἐφ. 4,4

**164** Πνεῦμα, τὸ ἀναγεννῆσαν· σῶμα, εἰς ὅπερ διὰ τῆς ἀναγεννήσεως κατέστητε.

Μία [γὰρ] πρόκειται ἡ τῶν προσδοκωμένων ἐλπίς[4].

### Ἐφ. 4,5-7

Μήτε τό «εἷς Κύριος»[5] ἐπ' ἀναιρέσει τοῦ Πατρὸς νοητέον, μήτε τό «εἷς Θεός» ἐπ' ἀναιρέσει τοῦ Υἱοῦ. Ἀλλ' ἵνα εἴπῃ· 'οὐ διαφόρους **165** κυρίους οὐδὲ διαφόρους νομίζομεν θεούς· ἀδιάσπαστος γὰρ ἡμῖν τῆς θεότητος καὶ τῆς κυριότητος ἡ ὁμολογία, οὐ διαιρουμένων τῶν γνωμῶν ἡμῶν κατὰ τὸν τῶν προσώπων ἀριθμόν, ἀλλὰ τὴν ὁμοίαν ἀποδιδόντων προσκύνησιν'.

Ὁ «ἐπὶ πάντων» δέ, ἵνα εἴπῃ 'ὁ πάντων ὑπερέχων καί «διὰ πάντων» ἡμῶν τὴν οἰκείαν ἐπιδεικνύμενος πρόνοιαν, «ἐν πᾶσιν»[6]

---

**1.** Ἐφ. 3,19. **2.** Ψαλ. 15,11. **3.** Ἐφ. 3,18. **4.** Πρβλ. Ἐφ. 4,4. **5.** Ἐφ. 4,5. **6.** Ἐφ. 4,6.



τέ ἡμῖν εἶναι καὶ οἰκεῖν πιστευόμενος'. Καὶ ἐπειδὴ διὰ πάντων ἔδειξεν αὐτοῖς τὴν ὁμόνοιαν, ἐδόκει δέ τις αὐτοῖς εἶναι διαφορὰ ἀπὸ τῆς τῶν χαρισμάτων ποικιλίας, ἐπιφέρει· «ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ»[1]. Εἰ δὲ ἴδιόν τι χάρισμα ἕκαστος ἡμῶν ἔχει, ἡ διαφορὰ γέγονεν καθὼς τὴν ἑαυτοῦ **166** δωρεὰν ἑκάστῳ ἡμῶν ὁ Δεσπότης ἐπεμέτρησεν Χριστός. **[920]** Ὅ τε γὰρ δεδωκὼς ἡμῖν, εἷς· καὶ τὸ δοθὲν ἡμῖν πνεῦμα, ἕν.

### Ἐφ. 4,8

Ὑπαλλάξας δὲ τό «ἔλαβεν δόματα»[2], οὕτως ἐν τῷ ψαλμῷ κείμενον, «ἔδωκεν δόματα»[3] εἶπεν, τῇ ὑπαλλαγῇ πρὸς τὴν οἰκείαν χρησάμενος ἀκολουθίαν· ἐκεῖ μὲν γὰρ πρὸς τὴν ὑπόθεσιν τό «ἔλαβεν» ἥρμοττεν, ἐνταῦθα δὲ τῷ προκειμένῳ τό «ἔδωκεν» ἀκόλουθον ἦν. Βούλεται δὲ εἰπεῖν ὅτι ἀγῶνα ὑπὲρ ἡμῶν ἐνστησάμενος πρὸς τὸν διάβολον καὶ **167** ὥσπερ πολέμου νόμῳ νικήσας αὐτόν, ἐπειδὴ ἀφεῖλεν ἑαυτὸν τοῦ θανάτου πρότερος ἀναστάς, κοινὴν ἐπὶ πάντων ἡμῶν τοῦ θανάτου τὴν λύσιν ἐποιήσατο· ὥσπερ αἰχμαλώτους τινὰς τοὺς ἀνθρώπους καὶ ὑπὸ τὴν τοῦ διαβόλου τυραννίδα κατεχομένους, τῆς ἐκείνου καταδυναστείας αὐτοὺς ἀφελὼν ἀνῆλθεν εἰς τοὺς οὐρανούς.

### Ἐφ. 4,17-18

**171** Τοῦτο λέγει συντόμως· 'οὐ δίκαιον ὑμᾶς ἀκόλουθα πράττειν τοῖς ἔθνεσιν[4], οἳ μηδὲν ἐπιστάμενοι τῶν δεόντων ὥσπερ ἐν σκότει διάγουσιν, τῆς εὐσεβείας μακρὰν τυγχάνοντες καὶ τῆς τοῦ Θεοῦ **172** ζωῆς ἀλλότριοι καθεστῶτες'[5]· ἵνα εἴπῃ, τῆς προσδοκωμένης ἀναστάσεως.

### Ἐφ. 4,19

Τὸ δέ «ἀπηλγηκότες»[6] ὥσπερ τῶν ἀπὸ πάθους τινὸς μέρη πολ-

---

**1.** Ἐφ. 4,7. **2.** Ψαλ. 67,19. **3.** Ἐφ. 4,8. **4.** Πρβλ. Ἐφ. 4,17. **5.** Πρβλ. Ἐφ. 4,18. **6.** Ἐφ. 4,19.

λάκις τοῦ σώματος νενεκρωμένων, οἷς οὐ μόνον ἄλγος οὐδὲν ἐκεῖθεν ἐγγίνεται, ἀλλ' οὐδὲ ἡ τοῦ μέρους ἀφαίρεσις αἴσθησιν ἐμποιεῖ.

### 'Εφ. 4,20-21

Τοῦτο λέγει, ὅτι 'πάντως που καὶ «ἠκούσατε καὶ ἐδιδάχθητε»[1] **173** περὶ τοῦ Χριστοῦ[2] ταῦτα· ἅπερ δὴ καὶ ἀληθῆ καθέστηκεν καὶ οὕτως ἔχει'.

### 'Εφ. 4,22-24

'Επειδὴ τοῖς θνητοῖς ἕπεται τὸ ἁμαρτάνειν, ἀθάνατοι δὲ γενόμενοι ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἁμαρτεῖν οὐκ ἐπιδεχόμεθα· σύμβολον δὲ ἐκείνου ἡ τοῦ Πνεύματος ἀναγέννησις ἣν ἐν τῷ Βαπτίσματι πληροῦμεν, ὥσπερ ἀνακτιζόμενοι ἐντεῦθεν ἤδη καὶ ἀναγεννώμενοι κατὰ τύπον ἐλπίδι τῶν προσδοκωμένων· τοῦτο λέγει, ὅτι 'πάντως οὐκ ἀγνοεῖτε ὅτι λέλυται μὲν ὁ παλαιὸς ἄνθρωπος[3] ὁ θνητὸς ἐκεῖνος, καινὸς δέ τις ἀντεπεισῆκται ἄφθαρτος, οὗπερ εἰς τύπον ἐπὶ τοῦ Βαπτίσματος ἀνακαινισμὸν ἐδέξασθε[4], τὴν τοῦ Πνεύματος **174** ἀπαρχὴν κομισάμενοι[5]. Ὥστε δίκαιον ὑμᾶς ἀκόλουθα τούτοις καὶ φρονεῖν καὶ πολιτεύεσθαι'.

### 'Εφ. 5,23

**183** Ἣν γὰρ ἐπέχει τάξιν ὁ Χριστὸς τῇ 'Εκκλησίᾳ, [ἅτε δὴ ἐκεῖθεν τὴν **184** αἰτίαν λαβούσῃ τῆς δευτέρας ὑπάρξεως, ἐξ οὗ καὶ τοῦ 'Εκκλησιαστικοῦ σώματος γίνεται ἡ σύστασις (τοῦτο γὰρ λέγει] τό «αὐτὸ [ς] ἐστιν ὁ σωτὴρ [τοῦ σώματος]», ἀντὶ τοῦ 'ὁ τὴν αἰτίαν παρασχόμενος τῇ συστάσει τοῦ 'Εκκλησιαστικοῦ σώματος')· ταύτην ἐπέχει τὴν τάξιν ὁ ἀνὴρ τῇ γυναικί, ἅτε δὴ τὸ εἶναί τε καὶ συνεστάναι ἐκεῖθεν λαβούσῃ.

### 'Εφ. 5,30

**186** Ὥσπερ μέρος ἐγένετο τοῦ 'Αδὰμ ἡ γυνὴ ἐκ τῶν ὀστῶν

1. 'Εφ. 4,21. 2. Πρβλ. 'Εφ. 4,20. 3. Πρβλ. 'Εφ. 4,22. 4. Πρβλ. 'Εφ. 4,23. 5. Πρβλ. 'Εφ. 4,24.



αὐτοῦ καὶ ἐκ τῆς σαρκὸς αὐτοῦ ληφθεῖσα· οὕτως καὶ ἡμεῖς τοῦ Δεσποτικοῦ σώματός ἐσμεν μέλη, ὥσπερ ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ γεγονότες[1].

### 'Εφ. 5,32

**187** Ὅπερ (φησίν) εἴρηται ἐν ἀρχῇ τῆς Δημιουργίας περὶ τῶν γυναικῶν καὶ τῶν ἀνδρῶν, τοῦτο μυστικώτερον ἐπὶ τοῦ Χριστοῦ καὶ τῆς 'Εκκλησίας πεπλήρωται[2]· πάντες γὰρ τῆς ἐκ πατρὸς καὶ μητρὸς γεννήσεως ἔξω γενόμενοι, ἅτε δὴ καὶ θανάτῳ χωρισθέντες τῆς ζωῆς ἐκείνης, πνευματικῇ τῇ ἀναγεννήσει τὴν 'Ανάστασιν δεχόμεθα, ἀποῤῥήτῳ λόγῳ τῷ Χριστῷ συναπτόμενοι, καὶ τὴν πρὸς αὐτὸν ὁμοιότητα τῆς ἀθανασίας ἀκριβῆ λαμβάνοντες.

### 'Εφ. 6,17

**193** Καλῶς τό «ὅ ἐστιν ῥῆμα Θεοῦ»[3], εἰς παράστασιν τοῦ δυνατοῦ τῆς ἐνεργείας τοῦ Πνεύματος· «ῥῆμα» γάρ «Θεοῦ» λέγει ἀντὶ τοῦ 'Θεοῦ ἐνέργεια', ὡς τό «τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν»[4], ἀντὶ τοῦ 'τῇ ἐνεργείᾳ καὶ τῇ δυνάμει τοῦ Θεοῦ ταῦτα συνέστη'. Οὕτως καὶ **194** παρὰ τοῖς Προφήταις κεῖται συνεχῶς τό «ῥῆμα τοῦ Θεοῦ ὃ ἐγένετο»[5], καί «λόγος Κυ**[921]**ρίου ὃς ἐγένετο»[6], ἀντὶ τοῦ 'ἡ ἀποκάλυψις ἡ κατ' ἐνέργειαν τοῦ Θεοῦ ἐναποτεθεῖσα'. Κἀνταῦθα τοίνυν «Θεοῦ ῥῆμα» τὴν τοῦ Πνεύματος ἐκάλεσεν ἐνέργειαν.

### 'Εφ. 6,24

**195** 'Πᾶσιν δὲ προσείη τοῦ Θεοῦ ἡ χάρις τοῖς ἀγαπῶσιν τὸν Χριστὸν καὶ ἐν ἀφθαρσίᾳ πολιτευομένοις'. Ἔοικεν δὲ μὴ εἰρηκέναι «ἡ χάρις μεθ' ὑμῶν» συνηθῶς· ἀλλ' ἁπλῶς «[μετὰ πάντων] τῶν ἀγαπώντων τὸν Κύριον ἐν ἀφθαρσίᾳ»[7]· ἐπὶ τῷ παιδεῦσαι αὐτοὺς πολλὴν τούτου ποιεῖσθαι τὴν ἐπιμέλειαν, ὡς ἂν τῶν τοιούτων καὶ τῆς παρὰ τοῦ Θεοῦ χάριτος ἀπολαύειν δυναμένων.

1. Πρβλ. 'Εφ. 5,30. 2. Πρβλ. 'Εφ. 5,32. 3. 'Εφ. 6,17. 4. Ψαλ. 32,6. 5. 'Ιερ. 1,1. 6. Ζαχ. 7,1. 7. 'Εφ. 6,24.

# ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ

## Φιλιπ. 1,1-2

**200 [921]** Προσεκτέον ὅτι τό «συνεπισκόποις» λέγει οὐχ ὥς τινες ἐνόμισαν, ὥσπερ ἡμεῖς 'συμπρεσβυτέροις' γράφειν εἰώθαμεν· οὐ γὰρ πρὸς τὸ ἑαυτοῦ πρόσωπον εἶπεν τὸ σύν, ἵνα ᾖ συνεπισκόποις ἡμῶν, ἀλλὰ πρὸς τό «πᾶσιν [τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ»[1], ἵνα ᾖ· πᾶσιν] τοῖς ἐν Φιλίπποις Ἁγίοις σὺν τοῖς αὐτόθι «ἐπισκόποις τε καὶ διακόνοις»· οὐχ ἁπλῶς ἐπισημηνάμενος τὰ τούτων ὀνόματα, ἀλλ' ὡς μάλιστα τῶν περὶ τῆς μετριοφροσύνης λόγων τούτοις ἁρμοττόντων οἳ τοὺς **201** ἑτέρους ὤφειλον διδάσκειν καὶ πρὸ τῶν λοιπῶν αὐτοὶ μετιέναι τὸ δέον.

## Φιλιπ. 1,7

**202** Βεβαίωσιν τοῦ Εὐαγγελίου τὸ πιστεῦσαι λέγει, ὡς ἂν τῶν πιστευόντων τό γε ἐπ' αὐτοῖς βεβαιούντων τὸ κήρυγμα ὅτι ἀληθές· **203** ὡς ἐν τοῖς Εὐαγγελίοις, τό «ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν»[2], ἀντὶ τοῦ 'τῷ πιστεῦσαι ἐβεβαίωσεν τά γε ἐπ' αὐτῷ τὰ παρὰ τοῦ Θεοῦ γινόμενα ὡς ἀληθῆ'. Καί «συγκοινωνοὺς δέ μου τῆς χάριτος»[3] τὸ αὐτὸ λέγει· ἐπειδὴ γὰρ αὐτὸς εἰλήφει χάριν ἀποστολῆς εἰς τὸ πιστεύειν ἑτέρους, ὁ πιστεύων ὡς εἰκὸς ἐκοινώνει τῆς χάριτος.

## Φιλιπ. 1,8-11

**204** Βούλεται εἰπεῖν ὅτι 'μάρτυς μου ὁ Θεὸς ὅπως περὶ πάντας ὑμᾶς διάκειμαι[4], καὶ προσεύχομαι ἑκάστοτε πλεονάζειν μὲν ὑμῶν τὴν περὶ τὸν Θεὸν καὶ τὴν περὶ ἀλλήλους ἀγάπην[5], γνῶσιν δὲ ἔχειν ὑμᾶς τὴν προσήκουσαν περὶ τῶν εἰς ἀρετὴν συντεινόντων, δοκιμάζοντας τίνα τὰ κρείττονα, καὶ περὶ ταῦτα μᾶλλον ἐσπουδακότας,

**1.** Φιλιπ. 1,1. **2.** Ἰω. 3,33. **3.** Φιλιπ. 1,7. **4.** Πρβλ. Φιλιπ. 1,8. **5.** Πρβλ. Φιλιπ. 1,9.



ὥστε ὑμᾶς ἐν τῇ μελλούσῃ ἡμέρᾳ ἀμέμπτους κατὰ πάντα φανῆναι[1], ὄγκον ἐπαγομένους κατορθωμάτων, ἐφ' οἷς δυνατὸν καὶ κατὰ τὸν παρόντα βίον θαυμάζεσθαι ἐφ' ὑμῖν τὸν Θεόν[2], πάντων ὡς εἰκὸς ἐπὶ τῇ ὑμετέρᾳ ἀρετῇ ἐκεῖνον ἐκπληττομένων, οὗπερ ἐπ' ὀνόματι ταῦτα ποιεῖτε'.

## Φιλιπ. 1,12-14

**205** Ὁ μακάριος Παῦλος ἐφέσει κατὰ τοῦ Φήστου χρησάμενος βουληθέντος αὐτὸν **[924]** Ἰουδαίοις ἐκδοῦναι, καὶ διὰ τοῦτο Καίσαρα ἐπικαλεσάμενος, ἀνήχθη δέσμιος εἰς τὴν Ῥώμην· εἰσαχθεὶς δὲ τῷ Νέρωνι καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογησάμενος διετῆ χρόνον αὐτόθι διέτριψεν, παντελοῦς τετυχηκὼς τῆς ἀφέσεως.

**206** Τότε τοίνυν προσεδόκων μὲν ἅπαντες τὸν μακάριον Παῦλον πάντως ἀναιρεῖσθαι ὑπὸ τοῦ Νέρωνος, ὠμοτάτου τὸν τρόπον ὄντος, καὶ μάλιστα ἐπειδή πως καὶ καινὰ ἐδόκει διδάσκειν, πολὺ τῆς τότε παρὰ Ῥωμαίοις κρατούσης περὶ Θεὸν δόξης ἀλλότρια. Ἔτυχεν οὖν παντελοῦς ἀφέσεως, ὡς καὶ ἀναχωρῆσαι τῆς Ῥώμης καὶ τῷ συνήθει τρόπῳ χρήσασθαι τῆς διδασκαλίας· ἐξέπληττέν τε ἅπαντας τὸ γενόμενον καὶ παρρησίαν ἐνεποίει τοῖς πιστοῖς τοῦ διδάσκειν.

**207** Τοῦτο οὖν λέγει, ὅτι 'βούλομαι ὑμᾶς εἰδέναι ὡς τὰ τῆς διδασκαλίας ὁσημέραι προκόπτει τῆς ἐμῆς[3]· δῆλος γὰρ ἐπὶ τοῖς δεσμοῖς μου ἅπασιν ἐγενόμην[4], καὶ εἰσαχθεὶς περὶ τῶν καθ' ἑαυτὸν ἀπελογησάμην, καὶ οὕτως ἀπήλλαξα ἀκινδύνως ὥστε πολλοὺς τῶν ὁμοπίστων διδάσκειν τὰ τῆς εὐσεβείας[5] ἀπὸ τῶν κατ' ἐμὲ τὴν παρρησίαν εἰληφότας'.

## Φιλιπ. 2,7

**216** Κένωσιν ἡ θεία Γραφή φησιν τὸ μηδέν, ὡς τό «κεκένωται ἡ πίστις»[6], ἀντὶ τοῦ 'οὐδὲν ἀποπέφανται'· καὶ κενὸν ἄρα τὸ κήρυ-

**1.** Πρβλ. Φιλιπ. 1,10. **2.** Πρβλ. Φιλιπ. 1,11. **3.** Πρβλ. Φιλιπ. 1,12. **4.** Πρβλ. Φιλιπ. 1,13. **5.** Πρβλ. Φιλιπ. 1,14. **6.** Ρωμ. 4,14.

γμα **217** ἡμῶν»[1], ἀντὶ τοῦ 'οὐδὲν καὶ εἰκαῖον'. Τὸ οὖν «ἑαυτὸν ἐκένωσεν», ἀντὶ τοῦ 'οὐκ ἔδειξεν ἑαυτόν· «μορφὴν» γάρ «δούλου λαβών»[2] τὴν ἀξίαν ἐκείνην ἀπέκρυψεν, τοῦτο τοῖς ὁρῶσιν εἶναι νομιζόμενος ὅπερ ἐφαίνετο'.

### Φιλιπ. 2,15-16

**226** 'Οὕτως ἐν μέσῳ τῶν ἀνθρώπων, οἷς περὶ τὰ χείρονα κατά γε τὸ πλεῖστον ἡ σπουδή, φανήσεσθε ἄμεμπτοι καὶ οἵους πρέπει φαίνεσθαι τοὺς ἐν υἱῶν τάξει γεγονότας, ὡς διαλάμπειν ὑμᾶς ἐν αὐτοῖς φωστήρων δίκην κατὰ τὴν ἀρετήν· ἀπεκδεχομένους τὴν αἰώνιον ζωὴν ἐν τῇ μελλούσῃ ἡμέρᾳ. Ἀφ' οὗ δὴ καὶ ἐμοὶ τὸ καυχᾶσθαι ὡς εἰκὸς προσγενήσεται'. Καὶ δεικνὺς ὡς πολλὴν καὶ αὐτῷ παρέξει τὴν παῤῥησίαν ἡ ἐν τοῖς βελτίοσιν ἐκείνων προκοπή....

### Φιλιπ. 2,16-18

**227** 'Ὑμῶν ἐπιμελομένων ἀρετῆς καὶ αὐτὸς ἐλπίδι [χαίρω] τοῦ καὶ ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἐφ' ὑμῖν εὐφρανθήσεσθαι, εἰδὼς ὅτι οὐ μάτην ὑπὲρ ὑμῶν ἐκοπίασα[3], ἀλλὰ καὶ εἰκότως ἅπαντα ὑπομένω κἂν εἰ τὸν ὑπὲρ ὑμῶν ἐλοίμην θάνατον· ὑμῶν μὲν ὥσπερ τινὰ θυσίαν τὴν πίστιν τῷ Θεῷ προσκομιζόντων, ἐμοῦ δὲ δίκην σπονδῆς ἐπιχέοντος ὑμῖν τὸ οἰκεῖον αἷμα'[4]. Καλῶς δέ «τὸ δ' αὐτὸ καὶ ὑμεῖς»[5] ἀντὶ τοῦ· 'δίκαιον καὶ ὑμᾶς δι' ὧν πράττετε κοινωνοῦντάς μοι φαίνεσθαι τῆς χαρᾶς'.

### Φιλιπ. 3,1-2

**231** Ἐντεῦθεν ἄρχεται τῶν ἐκ περιτομῆς καθάπτεσθαι, οἳ πείθειν αὐτοὺς ἐπειρῶντο κατὰ νόμον ζῆν. «Τὸ τὰ αὐτὰ γράφειν»[6] οὐχ ὡς καὶ ἤδη γράψας λέγει, οὐδαμοῦ γὰρ τῆς ἐπιστολῆς φαίνεται περὶ αὐτῶν εἰπών, ἑτέραν δὲ ὅτι γεγράφηκεν πρὸς αὐτοὺς ἐπι-

**1.** Α' Κορ. 15,14. **2.** Φιλιπ. 2,7. **3.** Πρβλ. Φιλιπ. 2,16. **4.** Πρβλ. Φιλιπ. 2,17. **5.** Φιλιπ. 2,18. **6.** Φιλιπ. 3,1.



στολὴν οὐδαμόθεν ἐμάθομεν· ἀλλ' ὡς διαλεχθεὶς αὐτοῖς πολλὰ περὶ τούτων ὅτε παρῆν τοῦτο λέγει, ὅτι 'ἐμοὶ περὶ ὧν ὑμῖν διελέχθην, περὶ τῶν αὐτῶν καὶ γράφειν ὄκνος οὐδείς, ἐπειδήπερ ἀσφάλειαν ὑμῖν ἡ συνέχεια παρέχει τῶν ῥημάτων'. Κύνας δὲ αὐτοὺς καλεῖ ὡς ἀναισχύντους καὶ **232** πολλάκις ἐλεγχθέντας ἐφ' οἷς οὐ καλῶς διδάσκουσιν, ἐπιμένοντας δὲ ὅλως· «κακούς» δέ «ἐργάτας»[1] ὡς οὐ τὰ προσήκοντα διδάσκειν ἐσπουδακότας.

### Φιλιπ. 3,3

**233** 'Οἱ ἀσώματον τῷ Θεῷ τὴν λατρείαν ἀποδιδόντες, ὥσπερ οὖν προσῆκόν ἐστιν, καὶ καυχώμενοι ἐπὶ τῷ Χριστῷ τῷ τούτων ἡμῖν αἰτίῳ γεγονότι, οὐ μὴν ἐν τοῖς περὶ τὴν σάρκα τὴν εὐσέβειαν ὁριζόμενοι'[2].

### Φιλιπ. 3,7

**235** Τὸ ἣν εἰς σύστασιν τοῦ ποτε κέρδος ἔχειν τὴν περὶ ταῦτα σπουδήν[3].

### Φιλιπ. 3,8

**236** Ἐπειδὴ ἐφύβριστον ἦν τό «σκύβαλα» καλέσαι τὰ τοῦ νόμου, μάλα ὀξέως ἐπήγαγεν «ἵνα Χριστὸν κερδήσω»[4] δεικνὺς ὅτι ἡ παράθεσις ἐκείνων ταῦτα τοιαῦτα εἶναι ποιεῖ.

### Φιλιπ. 3,13-14

**238[925]** 'Γεγενῆσθαι ἐμαυτὸν ἐν τῇ ἀληθινῇ τελειότητι οὐκ ἀποφαίνομαι, οὐδέπω γὰρ ἐν ἀπολαύσει τῶν προσδοκωμένων καθέστηκα. Ἀλλ' ὅμως εἰδὼς ἐκείνων τὸ μέγεθος, τῶν μὲν παλαιῶν ἁπάντων οὐδένα ποιοῦμαι λόγον, πρὸς δὲ τὰ μέλλοντα ἐμαυτοῦ λογισμὸν ἐκτείνων[5], ἕνα σκοπὸν ἔχω, πρὸς ὃν ἀφορῶν

**1.** Φιλιπ. 3,2. **2.** Πρβλ. Φιλιπ. 3,3. **3.** Πρβλ. Φιλιπ. 3,7. **4.** Φιλιπ. 3,8. **5.** Πρβλ. Φιλιπ. 3,13.

ἅπαντα πράττω, ὅπως ἂν τύχοιμι τῶν προκειμένων ἡμῖν ἐπάθλων εἰς τὴν ἄνω κλῆσιν·' ἵνα εἴπῃ τὴν ἐν τοῖς οὐρανοῖς δίαιταν, ἧς ἐπὶ τῷ τυχεῖν κεκλήμεθα πάντες[1].

Φιλιπ. 3,15

**240** Εἰ καὶ μὴ ἴσμεν ἀκριβῶς τὰ μέλλοντα ὁποῖα καθέστηκεν, ἀλλ' ἐπὶ τῶν πραγμάτων αὐτὰ ἡμῖν δείξει ὁ Θεός[2].

Φιλιπ. 3,16

'Τέως (φησίν) ἐν οἷς ἐσμεν καὶ ἐν οἷς ἐκλήθημεν[3] ἐπιμένειν ὀφείλομεν, σύμφωνον τὴν περὶ αὐτὰ διάθεσιν ἐπιδεικνύμενοι καὶ μὴ ἐξιστάμενοι τῆς τῶν μελλόντων προσδοκίας καὶ τοῦ κατ' ἐκεῖνα τὸν ἑαυτοῦ ῥυθμίζειν βίον'.

Φιλιπ. 3,17

**241** 'Αντὶ τοῦ 'μὴ ὑπὸ νόμον ζῶντες, ἀλλ' ὁμοίως ἐμοί'. 'Καὶ καθόλου (φησίν) πρὸς τοὺς οὕτως ζῶντας ἀφορᾶτε, κἀκείνους μιμεῖσθε'[4].

Φιλιπ. 3,18-19

Τί γὰρ ἕτερον εἴη ἂν καὶ ὑπολαβεῖν ἐπὶ τῶν ἐναντιουμένων **242** τῷ Χριστῷ καὶ ἐλαττούντων τὰ περὶ Αὐτὸν τῇ περὶ τὰ νόμιμα σπουδῇ[5];

'Τόδε φάγε καὶ τόδε μὴ φάγῃς·' καὶ περὶ τοῦτο ἑαυτοὺς ἀσχολοῦντες ὥσπερ Θεῷ τῇ κοιλίᾳ προσέχοντες[6], καὶ τὸ εὐσεβεῖν ἐν τῷ τάδε αὐτῇ προσκομίζειν ἢ μὴ τάδε τιθέμενοι.

Μέγα (φησίν) νομίζουσιν τὸ μὴ τάδε φαγεῖν, ἀλλὰ τάδε· οὐχ ἐννοοῦντες ὅτι κόπρος γίνεται ὅπερ ἂν φάγωσιν, ἣν καὶ ὁρᾶν αἰσχύνονται· ἰδοὺ τῆς σπουδῆς αὐτῶν τὸ τέλος.

---

**1.** Πρβλ. Φιλιπ. 3,14. **2.** Πρβλ. Φιλιπ. 3,15. **3.** Πρβλ. Φιλιπ. 3,16. **4.** Πρβλ. Φιλιπ. 3,17. **5.** Πρβλ. Φιλιπ. 3,18. **6.** Πρβλ. Φιλιπ. 3,19.



Φιλιπ. 4,2

**244** Δῆλον ὅτι καὶ αὗται πρὸς ἀλλήλας ἐστασίαζον περὶ πρωτείων **245** ἐρίζουσαι, ἐνάρετοι οὖσαι καὶ ὡς εἰκὸς εἰς τὴν περὶ τῶν τοιούτων ἔριδα καταπίπτουσαι[1].

Φιλιπ. 4,3

**246** Τό «γνήσιε»[2] [εἶπεν], ὃ ἀνδρὶ μὲν ἁρμόττει, γυναικὶ δὲ οὐκέτι. Δέον αὐτοὺς κἀκεῖνο ἐννοῆσαι, ὅτι σύζυγον ἡ θεία Γραφὴ οὐδαμοῦ τὸν γάμῳ συνημμένον λέγει, ἀλλὰ τὸν ὑπὸ τὴν αὐτὴν πίστιν.

Φιλιπ. 4,10

**249** Τό «ἠκαιρεῖσθε»[3] φησὶν ἀντὶ τοῦ 'ἐκωλύεσθε καὶ οὐκ εἴχετε τοῦτο ποιῆσαι ὅπερ ἐβούλεσθε'.

---

**1.** Πρβλ. Φιλιπ. 4,2. **2.** Πρβλ. Φιλιπ. 4,3. **3.** Πρβλ. Φιλιπ. 4,10.

# ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ

## Κολ. 1,13

**259 [925]** Οὐχ εἶπεν τοῦ Υἱοῦ, ἀλλά «τοῦ Υἱοῦ τῆς ἀγάπης»[1] αὐτοῦ· οὐ γὰρ κοινωνοὶ τῆς βασιλείας **[928]** τοῦ Θεοῦ Λόγου γινόμεθα, ἀλλὰ τοῦ **260** ἀναληφθέντος ἀνθρώπου, ᾧ κοινωνοῦμεν τῆς τιμῆς διὰ τὴν φυσικὴν ὁμοιότητα, ὅταν πρὸς αὐτὸν διάθεσιν ἐπὶ τῶν ἔργων ἐπιδειξώμεθα· ὅθεν καὶ Υἱὸν ἀγάπης αὐτὸν ἐκάλεσεν, ὡς οὐ φύσει τοῦ Πατρὸς ὄντα Υἱὸν ἀλλ' ἀγάπῃ τῆς υἱοθεσίας ἀξιωθέντα.

## Κολ. 1,15

**264** Τό «πρωτότοκος» οὐχ ἐπὶ χρόνου λέγεται μόνον, ἀλλὰ γὰρ καὶ ἐπὶ προτιμήσεως πολλάκις, ὡς τό «ἐπικαλέσεταί με, Πατήρ μου **265** εἶ σύ, καὶ ἐγὼ πρωτότοκον θήσομαι αὐτόν»[2], οὐ τοῦτο εἰπόντος τοῦ Θεοῦ, ὅτι 'ἕκαστον αὐτῶν πρότερον ποιήσω τῷ χρόνῳ τῶν λοιπῶν', ἀλλ' ὅτι 'περὶ πολλοῦ ποιήσομαι'· λέγει δὲ ταῦτα ὁ Δαβίδ, τῶν πρὸς αὐτὸν ἐπαγγελιῶν τοῦ Θεοῦ μνημονεύων, ὡς ἂν ὑποσχομένου τοὺς ἐξ αὐτοῦ κατὰ διαδοχὴν οἰκειώσεσθαι. Ὁ δὲ Ἀπόστολός φησιν τό [«ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ καὶ μυριάσιν ἀγγέλων πανηγύρει καὶ] Ἐκκλησίᾳ **266** πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς»[3]· ἵνα εἴπῃ, 'τῶν πολλῆς ἄγαν ἠξιωμένων τῆς τιμῆς'. Καὶ τό· «Υἱὸς πρωτότοκός μου Ἰσραήλ»[4]· ἀντὶ τοῦ 'τίμιος ἐμοί'.

Οὕτως φησὶν κἀνταῦθα· «πρωτότοκος πάσης κτίσεως»[5]· ἀντὶ τοῦ 'παρὰ πᾶσαν τὴν κτίσιν τιμώμενος'.

## Κολ. 1,16

**267** Οὐχ εἶπεν δι' αὐτοῦ, ἀλλ' «ἐν αὐτῷ»[6]· οὐ γὰρ τὴν πρώτην λέγει κτίσιν, ἀλλὰ τὴν ἐν αὐτῷ γενομένην ἀνάκτισιν, καθ' ἣν τὰ

**1.** Κολ. 1,13. **2.** Ψαλ. 88,27. **3.** Ἑβρ. 12,22. **4.** Ἐξ. 4,22. **5.** Κολ. 1,15. **6.** Κολ. 1,16.



πάντα διαλελυμένα εἰς συμφωνίαν ἤχθη μίαν, ὡς καὶ ἀλλαχοῦ φησίν· «ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν Χριστῷ, τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς»[1].

## Κολ. 1,18

**274** Οἱ δέ γε παρερμηνεύειν βουλόμενοι τὰ ῥητὰ καὶ τό «ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως»[2] ἐπὶ τῆς θείας ἐκλαβεῖν ἐπιχειρήσαντες φύσεως, οὐδαμῶς συκοφαντῆσαι τὴν ἑρμηνείαν ἡμῶν δυνήσονται ἀπὸ τῆς ἀπὸ τῶν θείων ἐπὶ τὰ ἀνθρώπινα μεταβάσεως, ἤτοι τῆς ἀπὸ τῶν ἀνθρωπίνων ἐπὶ τὰ θεῖα· τὸ γὰρ αὐτὸ καὶ αὐτοὺς ποιῆσαι ἀνάγκη, τὰ μὲν ἀνώτερα ἐπὶ τῆς ἄνω ἐκλαμβάνοντας φύσεως, τὸ δέ· «πρωτότοκος ἐκ τῶν νεκρῶν»[3], εἰ τὰ πάντα ἀναισχυντοῖεν, οὐδαμῶς ἐκλαβεῖν ἐπὶ τῆς θείας δυναμένους φύσεως.

## Κολ. 1,23.

**279** Τοῦτο γὰρ ἦν ἔργον αὐτοῦ, τὸ κηρύττειν εἰς τὰ ἔθνη τὸ Εὐαγγέλιον[4] ἔξω τῆς τῶν νομικῶν παρατηρήσεως.

## Κολ 1,24-25

**[929]** '"Ὥστε (φησίν) ἥδομαι καὶ πάσχων ὑπὲρ ὑμῶν· καὶ ἐπειδὴ προλαβὼν ὑπὲρ τῆς ὑμετέρας εὐεργεσίας ἔπαθεν ὁ Χριστός, ὥστε σῶμα ἑαυτοῦ ὑμᾶς ἀποφῆναι διὰ τῆς Ἀναστάσεως, τὰ προσλείποντα ταῖς θλίψεσιν αὐτοῦ ταῖς ὑπὲρ ὑμῶν ἀναπληρῶ'[5]. Τί δὲ ἦν τὸ προσλεῖπον; Τὸ μαθόντας ὑμᾶς τίνα ἐστὶν τὰ ὑπὲρ ὑμῶν κατορθω**280**θέντα παρ' αὐτοῦ, δέξασθαι τὴν περὶ αὐτῶν ἐπαγγελίαν· τοῦτο δὲ ἄνευ πόνων καὶ θλίψεων γενέσθαι οὐδαμῶς οἷόν τε ἦν· ὑπὲρ δὴ τούτων πάσχω, περιϊὼν καὶ κηρύττων ἅπασιν τὰ κατορθωθέντα, ὥστε ὑμᾶς πιστεύσαντας τῇ διαθέσει τῆς ψυχῆς τὴν πρὸς αὐτὸν οἰκείωσιν δέξασθαι· τούτων γὰρ ἐγὼ κατέστην διάκονος[6].

**1.** Ἐφ. 1,10. **2.** Κολ. 1,15. **3.** Κολ. 1,18. **4.** Κολ. 1,23. **5.** Πρβλ. Κολ. 1,24. **6.** Πρβλ. Κολ. 1,25.

## Κολ. 1,27.

**281** Οὗτος ὁ μέγας πλοῦτος, ὁ Χριστὸς καὶ τὸ ἐπ' αὐτῷ πιστεύειν· οὗτος γὰρ ἡ τῆς μελλούσης δόξης ἐλπίς[1], ὁ καὶ τὴν αἰτίαν ἡμῖν τοῦ προσδοκᾶν ἐκεῖνα χαρισάμενος.

## Κολ. 2,2-3

**283** Μυστήριον[2] δὲ καλεῖ τὴν περὶ τὰ ἔθνη χάριν, ὡς ἂν ἄδηλον οὖσαν τοῖς πρὸ τούτου, ἐπίγνωσιν δὲ μυστηρίου τὴν μετουσίαν αὐτῆς. Ἀποκρύφους δὲ πάντας τοὺς θησαυροὺς τῆς σοφίας καὶ τῆς γνώσεως[3] εἶναι ἐν τῷ Χριστῷ λέγει, ὡς ἂν τῶν μετὰ **284** πολλῆς κατορθωθέντων συνέσεως διὰ τοῦ Χριστοῦ ὑπὲρ τῆς ἡμετέρας εὐεργεσίας νῦν μὲν ὄντων ἀδήλων, φανησομένων δὲ τότε ὅποτ' ἂν φαίνηται καὶ αὐτός.

## Κολ. 2,13

**289** Ἀκροβυστίαν[4] ἐνταῦθα οὐ τὴν τοῦ σώματος λέγει, ἀλλ' ὥσπερ περιτομὴν τὴν ἀφαίρεσιν ἐκάλεσεν τῆς θνητότητος, οὕτως ἀκροβυστίαν τὸ περικεῖσθαι ἔτι τὴν θνητότητα. Τοῦτο οὖν λέγει, ὅτι 'νενεκρωμένους ὑμᾶς τοῖς ἁμαρτήμασιν διὰ τὴν περικειμένην θνητότητα συνανέστησεν τῷ Χριστῷ, ἐν αὐτῷ τὴν κοινὴν ἀνάστασιν κατεργασάμενος, ἀφ' ἧς πᾶν εἶδος ἁμαρτίας ὑμῶν ἀφανισθήσεται'.

## Κολ. 2,15

**291** Αἱ ἀντικείμεναι δυνάμεις οὐκ ἄν ποτε ἔσχον τινὰ ἰσχὺν μὴ ἐπιδεχομένων ἡμῶν ἁμαρτάνειν. Τῷ οὖν ἀποθέσθαι (φησίν) τὴν θνητότητα[5], ἣν ὑπὲρ τῆς κοινῆς ἀφεῖλεν εὐεργεσίας, ἀπεδύσατο κἀκείνων τὴν αὐθεντείαν, ᾗπερ ἐκέχρηντο καθ' ἡμῶν, μεγίστην καὶ ἀναμφίβολον τὴν κατ' αὐτῶν ἐργασάμενος νίκην, ὡς αἰσχυν-

1. Πρβλ. Κολ. 1,27. 2. Πρβλ. Κολ. 2,2. 3. Πρβλ. Κολ. 2,3. 4. Πρβλ. Κολ. 2,13. 5. Πρβλ. Κολ. 2,15.



θῆναι κἀκείνους μάτην τοσοῦτον ἐπιδειξαμένους καθ' ἡμῶν τὸν πόνον, ἀφ' οὗ μηδὲν αὐτοῖς ἐγένετο ὄφελος, ἐν κρείττονι τῇ καταστάσει γεγονότων ἡμῶν, ὡς μηδὲ ἁμαρτεῖν ἡμᾶς ἐπιδέχεσθαι ἔτι'.

## Κολ. 2,18

**294** Ἐπειδὴ δι' Ἀγγέλων ὁ νόμος ἐλέγετο δεδόσθαι, ὡς ἂν διακονησαμένων αὐτοῦ πρὸς τὴν δόσιν (καθὼς καὶ ὁ μακάριος Παῦλός φησιν· «εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος»[1])· οἱ τὸν νόμον φυλάττειν αὐτοὺς ἀναπείθοντες προεβάλλοντο τοὺς Ἀγγέλους, ὡς ἂν καὶ ἐκείνων ἀγαν**[932]**ακτούντων, εἰ μὴ ὁ νόμος φυλάττοιτο· εἶτα καὶ μετριότητά τινα δῆθεν ἐπεδείκνυντο, ὡς ἂν δέει τῆς τοῦ νόμου φυλακῆς οὐκ ἐξιστάμενοι τῷ μηδὲ τοὺς Ἀγγέλους περιορᾶν τοῦ νόμου τὴν καταφρόνησιν[2]. Ὁ Μὴ τοίνυν (φησίν) τοῖς τὴν μετριότητα ταύτην **295** ἐπιδεικνυμένοις καὶ βουλομένοις τοὺς Ἀγγέλους προβαλέσθαι προσέχητε· ὑπὸ γὰρ τύφου διανοίας λέγουσιν ἃ μὴ ἴσασιν'.

## Κολ. 2,23

**296** Ἀσαφὲς μέν ἐστιν, βούλεται δὲ εἰπεῖν, ὅτι τὸ ταῦτα παραδιδόναι **297** δοκεῖ μέν τινα τῶν διδασκόντων ἔνδειξιν ἔχειν γνώσεως· καὶ δῆθεν καὶ μετριοφροσύνης βουλομένους ἐπιμελεῖσθαι τοὺς περὶ ταῦτα ἔχοντας ἐπιδείκνυσιν, ὡς ἂν καὶ τοῦ σώματος ἀφειδοῦντας[3] καὶ οὐ τίμιον νομίζοντας τὸ διὰ πάντων πληροῦν τὴν σάρκα, ἀλλὰ γὰρ μᾶλλον αἱρουμένους ἀπέχεσθαι τῶν πολλῶν διὰ τὴν τοῦ νόμου παράδοσιν.

## Κολ. 3,1

**298** Ἀντὶ τοῦ· 'ταπεινὸν πρὸς ὑμᾶς κρινομένη ἡ περὶ τὰ τοιαῦτα σπουδή, τοὺς ἤδη τῷ Χριστῷ κατὰ τὴν ἐπαγγελίαν συνανα-

1. Ἑβρ. 2,2. 2. Πρβλ. Κολ. 2,18. 3. Πρβλ. Κολ. 2,23.

στάντας· οὓς προσήκει μικρὰ τούτων ἁπάντων φροντίζοντας τὰ ἄνω φαντάζεσθαι[1] καὶ τὴν ἐν οὐρανοῖς ἀπομιμεῖσθαι δίαιταν'.

### Κολ. 3,3

'Τεθνήκατε (φησίν) ἤδη τῷ βίῳ τούτῳ·' τοῦτο γὰρ ἡ φύσις δέξεται. ''Αλλὰ γὰρ καὶ ἠγέρθητε'· καὶ γὰρ καὶ τοῦτο ἐπὶ τοῦ **299** Χριστοῦ[2], καὶ ἀμφιβάλλειν ἔσεσθαι καὶ ἐπὶ ἡμῶν οὐδαμῶς οἷόν τε. Ἀλλὰ ἄδηλον τέως τοῦτο ἐπεὶ μηδὲ αὐτὸν ὁρῶμεν τὸν Χριστόν. Ἐν οὖν τῇ τοῦ Θεοῦ δυνάμει τοῦ κατεργαζομένου τοῦτο σὺν αὐτῷ τῷ Χριστῷ τῇ τούτων ἀπαρχῇ τέως ἐστὶν ἀφανὲς τὸ ἐσόμενον.

### Κολ. 4,17

**311** Ὡς ἔστιν ἐκ τῶν προγεγραμμένων εἰκάσαι, παρὰ Λαοδικεῦσιν ὄντι καὶ τὴν διακονίαν[3] ἐγκεχειρισμένῳ τῆς διδασκαλίας.

**1.** Πρβλ. Κολ. 3,1. **2.** Πρβλ. Κολ. 3,3. **3.** Πρβλ. Κολ. 4,17.

## ΕΙΣ ΤΗΝ Α΄ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

### Α΄ Θεσ. 1,1

**2 [932]** Τό «χάρις ὑμῖν»[1] οὕτως τίθησιν ὥσπερ ἡμεῖς τό «χαίρειν» ἐν ταῖς προγραφαῖς τῶν ἐπιστολῶν εἰώθαμεν· τό «ἐν Θεῷ πατρί» τεθεικώς, ὡς καὶ ἡμεῖς τό «ἐν Κυρίῳ» γράφομεν.

### Α΄ Θεσ. 1,2-3

**3** Ἵνα εἴπῃ ὅτι 'ἀρέσκοντες τῷ Θεῷ ταῦτα ποιεῖτε'· ὥστε φανῆναι Θεοῦ ἀρέσκειαν τὴν ἐπὶ τὸν Χριστὸν πίστιν καὶ τὴν περὶ αὐτὸν διάθεσιν[2].

### Α΄ Θεσ. 1,4-5

**4** Οὐχ εἴπομεν μόνον, ἀλλὰ καὶ θαύματα ἐπεδειξάμεθα[3].

### Α΄ Θεσ. 1,6

**5** Καλῶς δὲ προσέθηκεν τό «Πνεύματος ἁγίου»[4]. Οὐ γὰρ ἦν ἑτέρως ἐνταῦθα λυπουμένους χαίρειν ὑπὲρ τῶν οὐ φαινομένων, εἰ μὴ τὰ ὑπὸ τοῦ Πνεύματος γενόμενα θαύματα βεβαίαν αὐτοῖς παρεῖχεν τῶν μελλόντων τὴν πίστιν.

### Α΄ Θεσ. 1,8

**6** Λόγον Κυρίου ἐνταῦθα οὐ τὴν πίστιν λέγει, οὐ γὰρ ἡ πίστις ἀπ' αὐτῶν ἔλαβεν τὴν ἀρχήν· ἀλλ' ἀντὶ τοῦ 'πάντες ἔγνωσαν ὅσα ὑπὲρ τῆς πίστεως ἐπάθετε, καὶ πάντες ὑμῶν τὸ βέβαιον θαυμάζουσιν τῆς πίστεως[5], ὥστε καὶ προτροπὴν ἑτέροις γενέσθαι τὰ ὑμέτερα'.

### Α΄ Θεσ. 1,8-10

**7** Ἐπισημαντέον δὲ ὅτι ἐν τῇ τῶν εἰδώλων ἀναχωρήσει τὸν Θεὸν καὶ ζῶντα καὶ ἀληθινὸν προσεῖπεν[6], πρὸς ἀντιδιαστολὴν

**1.** Α΄ Θεσ. 1,1. **2.** Πρβλ. Α΄ Θεσ. 1,2-3. **3.** Πρβλ. Α΄ Θεσ. 1,4-5. **4.** Α΄ Θεσ. 1,6. **5.** Πρβλ. Α΄ Θεσ. 1,8. **6.** Πρβλ. Α΄ Θεσ. 1,9.

ἐκείνων· **8** ὥστε ὅπου ποτ᾽ ἂν τὴν φωνὴν εὑρίσκομεν ταύτην, εἰδέναι χρὴ ὅτι μήτε ἐπὶ Πατρὸς εἰς ἀναίρεσιν λέγει Υἱοῦ, μήτε ἐφ᾽ Υἱοῦ εἰς ἀναίρεσιν Πατρός, ὁμοίως ἀληθινοῦ Πατρὸς καὶ Υἱοῦ παρὰ τοῖς εὐσεβέσιν[1].

Α΄ Θεσ. 2,7

**10** Τοῦτο πρὸς τό «οὔτε ἐν προφάσει πλεονεξίας»[2] ἀπέδωκεν· μεῖζον **11** γὰρ ἦν τὸ καὶ ἔχοντας ἐξουσίαν ὡς Ἀποστόλους[3] τὰ πρὸς τὴν χρείαν λαμβάνειν, μηδὲ τοῦτο ἑλέσθαι.

Α΄ Θεσ. 2,18

**16** Τῷ μέλλειν ὠφελεῖσθαι Θεσσαλονικέας ἀπὸ τῆς αὐτοῦ παρουσίας· ὡς ἂν ἀναγκαίως πάντων τῶν βλαβερῶν ἀνατιθεμένων τῷ Σατανᾷ[4].

Α΄ Θεσ. 3,4

**18** Τὴν ἀπὸ τῶν πραγμάτων ἐγκοπὴν τοῦ Σατανᾶ ἐκάλεσεν[5].

Α΄ Θεσσ. 4,4-5

**22** «Σκεῦος» τὴν ἰδίαν ἑκάστου γαμετὴν ὀνομάζει· «ἐν ἁγιασμῷ κτᾶσθαι»[6] αὐτὸ εἰρηκώς, ὅταν μὴ πρὸς ἑτέραν ῥυπαίνηται. Ἐμφατικώτερον δὲ **23** τό **[933]** «μὴ ἐν πάθει ἐπιθυμίας»[7], ὡς ἂν τοῦτο ποιοῦντος οὐκέτι ταύτῃ ὡς γυναικὶ συνόντος, ἀλλὰ διὰ μίξιν μόνην ἁπλῶς· ὅπερ «πάθος ἐπιθυμίας» ἐκάλεσεν.

Α΄ Θεσ. 4,14

**27** Προσεκτέον δὲ ὅτι ἐπὶ μὲν τοῦ Ἰησοῦ τό «ἀπέθανεν» εἶπεν, ἐπὶ **28** δὲ τῶν λοιπῶν «τοὺς κοιμηθέντας»[8]· ὡς ἐκεῖ μὲν θανάτου

**1.** Πρβλ. Α΄ Θεσ. 1,10. **2.** Α΄ Θεσ. 2,5. **3.** Πρβλ. Α΄ Θεσ. 2,7. **4.** Πρβλ. Α΄ Θεσ. 2,18. **5.** Πρβλ. Α΄ Θεσ. 3,4. **6.** Α΄ Θεσ. 4,4. **7.** Α΄ Θεσ. 4,5. **8.** Α΄ Θεσ. 4,14.



ὄντος διὰ τὸ μηδέπω λελύσθαι· ἐνταῦθα δὲ κοιμήσεως, διὰ τὸ ἤδη λελύσθαι.

Α΄ Θεσ. 4,15

Ἀντὶ τοῦ κατὰ ἀποκάλυψιν· οὐ γὰρ ἦν περὶ μελλόντων πιστεύεσθαι λέγοντα, μὴ ἐκεῖθεν μαθόντα.

**29** Τὸ δέ «ἡμεῖς» οὐ περὶ ἑαυτοῦ φησίν· ἀλλὰ τοὺς πιστοὺς λέγει. Διὰ τοῦτο προσέθηκεν «οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου»[1].

Α΄ Θεσ. 4,16-17

**31** Δῆλον μέντοι κἀκεῖνο, ὅτι ὅταν εἴπῃ «οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον»[2], οὐκ ἀναιρῶν τοὺς πρὸ τῆς Χριστοῦ παρουσίας δικαίους λέγει· πῶς γάρ; ὅ γε σαφῶς ἐν τῇ πρὸς Ἑβραίους λέγων· «καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν»[3]· ὡς δῆλον ὅτι σὺν αὐτοῖς τελειοῦσθαι μέλλουσιν[4]. Ἀλλ᾽ ἐπειδὴ μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν ταῦτα ἔγραφεν, ὡς πρὸς τοὺς μὴ πεπιστευκότας τό «ἐν Χριστῷ» διαστέλλων λέγει.

**1.** Α΄ Θεσ. 4,15. **2.** Α΄ Θεσ. 4,16. **3.** Ἑβρ. 11,39-40. **4.** Πρβλ. Α΄ Θεσ. 4,17.

## ΕΙΣ ΤΗΝ Β΄ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ

### Β΄ Θεσ. 1,10

**46** Τό «ἐν τῇ ἡμέρᾳ ἐκείνῃ» πρὸς τό «καὶ θαυμασθῆναι ἐν πᾶσιν τοῖς **47** πιστεύσασιν»[1] ἀποδοτέον· ἵνα ᾖ διὰ μέσου κείμενον τὸ ὅτι «ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς», τελευταῖον ὂν τῇ τῆς ἐννοίας ἀκολουθίᾳ. Βούλεται γὰρ εἰπεῖν ὅτι 'κατ' ἐκείνην τὴν ἡμέραν ἐπίδοξος καὶ θαυμαστὸς ἐν τοῖς πεπιστευκόσιν φανήσεται διὰ τῶν περὶ αὐτῶν ἀγαθῶν· ὧν δὴ καὶ ὑμεῖς ἀπελαύσατε, ἅτε δὴ τὴν διδασκαλίαν ἡμῶν παραδεξάμενοι'.

### Β΄ Θεσ. 2,1-2

**48 [933]** Ὅτι περὶ τῆς Χριστοῦ παρουσίας[2] καὶ τῆς ἡμῶν ἐπ' αὐτὸν **49** ἐκείνης ἐπισυναγωγῆς, μὴ πείθεσθε τοῖς βουλομένοις ἀπατᾶν ὑμᾶς, ὡς ἂν ἐγγύθεν παρόντος ἐκείνου τοῦ καιροῦ· ἀλλ' εἴτε ὡς ἀπὸ πνευματικῆς ἐνεργείας λέγειν τις ἐπαγγέλλεται, εἴτε ὡς ἀπὸ λόγου ἢ ἐπιστολῆς ἡμετέρας τοῦτο μαθών, μὴ πείσεσθε'[3].

### Β΄ Θεσ. 2,6

**53** Οὐ πιθανὸν ἔμοιγε φαίνεται τοῦτο, ἐπεὶ καὶ ἐπαύσαντο ἐκ πλείονος ἤδη τοῦ χρόνου [αἱ τοῦ Πνεύματος ἐνέργειαι]. Εἰ γάρ τις μὴ πεπαῦσθαι βούλοιτο λέγειν διὰ τὸ παρά τινων [κατὰ] προσευχὴν γίνεσθαι κατὰ τὸ σπάνιον ἔνια, οὐδὲ παυθήσεται κατά γε τοῦτον τὸν τρόπον, ἐπεὶ μηδὲ ἐπιλείπειν πάντῃ τοὺς Ἁγίους οἷόν τε, ἐσομένων καὶ τότε τῶν οὐ προσιεμένων τὴν ἐκείνου διδασκαλίαν, οἳ καὶ διαλάμψουσιν ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν. Λέγει δέ **54** «τὸ κατέχον», ὡς ἂν τοῦ διαβόλου μὲν ἐθέλον**[936]**τος καὶ ἤδη τοῦτο ποιῆσαι, τοῦ Θεοῦ δὲ κατέχοντος αὐτὸν τέως διὰ τὸ καιρὸν ὁρίσαι τῇ συντελείᾳ τοῦ αἰῶνος, καθ' ὃν ὀφθῆναι συγχωρεῖ κἀκεῖνον. Τοῦτο «[τὸ] κατέχον» ὁ Ἀπόστολος ὀνομάζει, τοῦ Θε-

---

**1.** Β΄ Θεσ. 1,10. **2.** Πρβλ. Β΄ Θεσ. 2,1. **3.** Πρβλ. Β΄ Θεσ. 2,2.



οῦ [λέγων] τὸν ὅρον, ὅθεν καὶ ἐπήγαγεν· «εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν τῷ ἑαυτοῦ καιρῷ»[1].

### Β΄ Θεσ. 2,7

Ἀντὶ τοῦ· 'εἰ καὶ μὴ κατὰ τὸ σαφὲς ἤδη τὴν ἀποστασίαν ἐργάζεται ὁ διάβολος, ἀλλ' οὖν γε ὡς ἐν μυστηρίῳ πλεῖστα καὶ νῦν διαπράττεται, ἑκάστοτε διὰ τῶν οἰκείων τῆς εὐσεβείας ἀφιστᾶν πειρώμενος τοὺς προσιόντας τῇ πίστει'[2].

### Β΄ Θεσ. 2,7-8

**55** Προσεκτέον ὅτι 'ἀποκάλυψιν' τοῦ ἀντιχρίστου ἐκάλεσεν τὴν φανέρωσιν, ἔν τε τοῖς ἀνωτέροις «ἀποκαλυφθῇ ὁ ἄνθρωπος» εἰπών, κἀνταῦθα, «ἀποκαλυφθήσεται ὁ ἄνομος»[3]· ὡς ἂν τοῦ διαβόλου πάντοτε μὲν ἀπὸ τῆς τοῦ Κυρίου παρουσίας μελετῶντος αὐτὸ ἐπὶ τῇ τῶν ἀνθρώπων βλάβῃ, καὶ ἤδη γε αὐτὸ καὶ ποιήσαντος ἄν, εἰ μὴ κατὰ τὴν ἀπόρρητον αὐτοῦ βουλὴν κατεῖχεν αὐτὸν ὁ Θεός· ἐργασομένου δὲ τότε καὶ οἴσοντός γε εἰς φανερὸν τὸ πάλαι δοκοῦν αὐτῷ, ὅταν συγχωρηθῇ τὴν οἰκείαν γνώμην ἐκβαλεῖν εἰς ἔργον.

### Β΄ Θεσ. 2,8

**56** Ἐκείνου [γὰρ] τοιαῦτα διαπραττομένου κατὰ τῆς οἰκουμένης καὶ πάντας ἀνθρώπους ἀφιστῶντος τῆς εὐσεβείας, ἐξαίφνης ἀπ' οὐρανῶν φανεὶς ὁ Χριστὸς καὶ μόνον ἐπιβοήσας παύσει τῆς ἐργασίας, ὅλον αὐτὸν ἀναλώσας· τοῦτο γὰρ λέγει τό «τῷ πνεύματι τοῦ **57** στόματος αὐτοῦ», ἀντὶ τοῦ 'τῇ φωνῇ', ἀπὸ τοῦ παρ' ἡμῖν αὐτὸ εἰρηκώς, ἐπειδὴ ἡμεῖς τῷ πνεύματι συνεργῷ κεχρήμεθα πρὸς τὴν ἔναρθρον λαλιάν.

### Β΄ Θεσ. 2,11-12

**58** Τὴν συγχώρησιν δηλονότι ὡς ἔργον τῷ Θεῷ περιῆψεν· βούλεται γὰρ εἰπεῖν, ὅτι μὴ μείναντες ἐπὶ τῆς ἀληθείας προσέξου-

---

**1.** Β΄ Θεσ. 2,6. **2.** Πρβλ. Β΄ Θεσ. 2,7. **3.** Β΄ Θεσ. 2,8.

σιν τῇ πλάνῃ καὶ πιστεύσουσιν τῷ ψεύδει[1], δικαίαν δεχόμενοι τὴν τιμωρίαν ὑπὲρ ὧν καταλιπόντες τὴν ἀλήθειαν πρὸς τὴν ἀδικίαν ἔκλιναν[2]· ἵνα εἴπῃ τοῦ διαβόλου τὴν προσκύνησιν, ἀδικίαν αὐτὴν καλέσας, ὡς οὐ δικαίως γινομένην παρὰ τῶν ποιούντων.

---

**1.** Πρβλ. Β' Θεσ. 2,11. **2.** Πρβλ. Β' Θεσ. 2,12.

## ΕΙΣ ΤΗΝ Α' ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ

### Α' Τιμ. 1,3-4

**69 [936]** Οὐ διὰ τὸ παραγγέλλειν μόνον τισὶν μὴ ἑτεροδιδασκαλεῖν **70** κατέλιπεν αὐτὸν ἐν Ἐφέσῳ, **[937]** ἀλλὰ καὶ πάσης ἐπιμελεῖσθαι τῆς ἐκκλησιαστικῆς καταστάσεως, περὶ ἧς αὐτῷ καὶ γεγράφηκεν.

**71** Δῆλον δὲ ὅτι τό «ἵνα παραγγείλῃς τισίν»[1] περὶ τῶν οἰκείων λέγει· οὐ γὰρ δὴ τοῖς ἀλλοτρίοις παραγγέλλειν ἠδύνατο, τοὐναντίον γὰρ καὶ πολλὰ κακὰ ὑπέμενον παρ' ἐκείνων. Λέγει δὲ περὶ τῶν ἐκ περιτομῆς, οἳ πολὺν ὑπὲρ τοῦ νόμου δῆθεν ποιούμενοι λόγον, τοὺς ἀπὸ ἐθνῶν ἐπεχείρουν διδάσκειν ἐναντία τοῦ χριστιανικοῦ δόγματος.

Λέγει τοίνυν· 'πᾶσιν μὲν παράγγελε, προηγουμένως δὲ τοῖς ἀπὸ ἐθνῶν, μὴ προσέχειν τοῖς μύθοις τοῖς ὑπ' ἐκείνων λεγομένοις καὶ **72** ταῖς γενεαλογίαις'[2]. Πολλὴν γὰρ ἐποιοῦντο τὴν σπουδὴν τοῦ δεικνύναι τὸν Χριστὸν οὐχ ἀκολούθως ταῖς ἐπαγγελίαις ἐξ Ἀβραὰμ καὶ Δαβὶδ γεγονότα, καὶ διὰ τοῦτο ἐπεχείρουν καὶ τὰ γένη τὰ παλαιὰ διηγεῖσθαι δῆθεν· ἀφ' ὧν δὴ πολλοὺς τῶν ἀπὸ ἐθνῶν πεπιστευκότων παρετάραττον, οὐδὲν τῶν παλαιῶν ἀκριβῶς ἐπισταμένων. Καλῶς δὲ αὐτὰς καί 'ἀπεράντους' ἐκάλεσεν, ὡς τῶν ἐπὶ τὰ τοιαῦτα ἐκφερομένων δυναμένων τῇδε κἀκεῖσε περιάγεσθαι **73** τῷ λόγῳ· ὅπερ ἐν ταῖς γενεαλογίαις γίνεσθαι ἀνάγκη, νῦν μὲν τούτου λεγόντων τὸ γένος, αὖθις δὲ τὸ ἑτέρου, καὶ πάλιν ἀπὸ τούτου μεθισταμένων εἰς ἕτερον.

'Μύθους' δὲ αὐτοὺς ὠνόμασεν ὡς μὴ ἔχοντας ἀναγκαίαν διήγησιν. Ἡ γὰρ περὶ ταῦτα σχολὴ καὶ ζήτησις οὐκ ἐᾷ γνῶναι τοῦ Θεοῦ τὴν οἰκονομίαν, καθ' ἣν τὴν ἡμετέραν διὰ Χριστοῦ εἰργάσατο σωτηρίαν· ᾗ μᾶλλον προσέχειν ἔδει μετὰ πίστεως, ἀπὸ τῶν πραγμάτων ἔχοντας τῆς ἀληθείας τὴν ἀπόδειξιν.

---

**1.** Α' Τιμ. 1,3. **2.** Πρβλ. Α' Τιμ. 1,4.

### Α΄ Τιμ. 1,10-11

**77** Εἰκότως δέ 'μακάριον' αὐτὸν ἐνταῦθα καλεῖ, ὡς ἂν αὐτοῦ μὲν τὸ μακάριον ἔχοντος ἐν τῇ φύσει διὰ τῆς ἀτρεπτότητος, ἡμῖν δὲ χάριτι τοῦτο περιποιοῦντος.

### Α΄ Τιμ. 1,17

**81** "Ὑπὲρ ἁπάντων ἐκεῖνον ὑμνεῖσθαι δίκαιον παρ' ἡμῶν, τὸν τοσούτων ἡμῖν αἴτιον γεγονότα ἀγαθῶν'. Καί 'βασιλέα' μέν 'τῶν αἰώνων'[1] ἐκάλεσεν τὸν Θεόν, διὰ τὸ τῶν μελλόντων ἀτελεύτητον. 'Ἄφθαρτον' δέ, διὰ τὴν προσδοκωμένην περιέσεσθαι ἡμῖν ἀφθαρσίαν· 'ἀόρατον' δέ, διὰ τὸ μὴ φαίνεσθαι τὰ προσδοκώμενα. Ὥστε ἀπὸ τῶν τῷ Θεῷ προσόντων τὰ ἡμῖν περιεσόμενα παρ' αὐτοῦ πιστευθῆναι.

### Α΄ Τιμ. 2,12

**93** Δηλονότι περὶ τῆς ἐν κοινῷ καταστάσεως λέγει, ὡς ἂν οὐ δέον ἐν Ἐκκλησίᾳ αὐτὰς διδάσκειν[2].

**94** Περὶ γάρ τοι τῆς κατ' οἶκον ἀναστροφῆς αὐτῶν ταῦτα νομοθετῆσαι οὐκ ἄν ποτε ἠνείχετο Παῦλος, οὐδ' ἂν ἐκώλυσεν γυναῖκας ἢ ἀσεβοῦντας τοὺς ἄνδρας παιδεύειν τὴν εὐσέβειαν, ἢ μὴ δεόντως πολιτευομένους ἐπὶ τὰ τῆς ἀρετῆς ἔργα προάγειν.

### Α΄ Τιμ. 2,14

**95** Ἐπειδὴ ἐκείνου μὲν τῆς ἀπάτης τὴν αἰτίαν εἶχεν αὕτη[3], αὐτὴ δὲ ἐπ' ἐκεῖνον τὴν αἰτίαν στρέφειν οὐκ ἠδύνατο.

### Α΄ Τιμ. 3,2

**99** Τό «ἀνεπίληπτον», οὐ τῇ ἑτέρων συκοφαντίᾳ, ἀλλὰ τῷ ἐκείνου βίῳ· ἐπεὶ μηδὲ ἄλλως ὁ Παῦλος τὰς τῶν συκοφαντούντων διαβολὰς ἐξέφυγεν.

**1.** Α΄ Τιμ. 1,17. **2.** Πρβλ. Α΄ Τιμ. 2,12. **3.** Πρβλ. Α΄ Τιμ. 2,14.



Γελοιότατον παρὰ τοῖς πολλοῖς ἐστιν αὐτὸ φυλαττόμενον δῆθεν **100** εὑρεῖν· εἰ μὲν γάρ τις εἴη σώφρων ὡς δευτέραν ἀγόμενος γυναῖκα, τοῦτον οὐ προσιένται εἰς κλῆρον· εἰ δὲ βιώσας τις ὡς οὐ προσῆκεν μίαν ἠγάγετο κατὰ νόμον, οὗτος εἰς μέσον παράγεται, καίτοι τὸν μὲν δεύτερον γάμον τοῦ μακαρίου Παύλου σαφῶς ἐπιτρέψαντος γίνεσθαι, πάσης δὲ τῆς παρὰ τὸν νόμιμον γάμον κοίτης πορνείας οὔσης σαφῶς. Καὶ παρίημι τέως ἐκεῖνο, ὅτι καὶ δύο γυναῖκας εἰληφότα σαφῶς (νομίμους λέγω), βαπτίσαντες ἐπὶ τὸν κλῆρον **101** παράγουσιν ἀδεῶς, καίτοι γε ἐπὶ **[940]** τῶν λοιπῶν αὐτὸ φυλάττεσθαι δοκοῦντες, ὡς ἂν τοῦ Βαπτίσματος ποιοῦντος αὐτὸν οὐκέτι εἶναι συνῳκηκότα δυσὶν γυναιξίν· πολλάκις δὲ τοῦτο καὶ ἐπὶ τῶν καθόλου μοχθηρῶν διαπραττόμενοι, οἴονται κάλλιστα ποιεῖν, εἰ δὴ βαπτίζοντες τὸν ὅπως ποτὲ ἐζηκότα ἐπὶ τὴν τοῦ κλήρου λειτουργίαν παράγοιεν, μηδὲν ἀρετῆς καὶ τῆς περὶ τὴν εὐσέβειαν ἐπιμελείας γνώρισμα ἐπαγόμενον. Ἵνα γὰρ σιωπήσω τοῦ Βαπτίσματος τὴν αἰτίαν, ἐφ' ᾗ δίδοται, πρὸς ἣν οὐδὲ ἀφορᾷν ἐθέλουσιν οἱ πολλοί· ἐκεῖνο γοῦν εἰδέναι αὐτοὺς ἐχρῆν, ὅτι ὁ μακάριος Παῦλος περὶ βίου νομοθετεῖ, καθ' ὃν νομίζει δεῖν ἐζηκέναι τὸν ἐπίσκοπον, οὐ περὶ συγχωρήσεως διαλέγεται τῆς [διὰ] χάριτος προσγινομένης τοῖς τὸ Βάπτισμα εἰληφόσιν· εἰ γὰρ δὴ τοῦτο γίνεσθαι οὕτως καλόν, περιττὴ πᾶσα ἡ νομοθεσία τοῦ Παύλου, συγχωρήσαντος καὶ τὸν ὁπώσποτε βιώσαντα βαπτίζοντα εὐθὺς εἰς κλῆρον ἄγειν. Ὅπερ **102** ἀπηγόρευται μὲν παρὰ τῷ Παύλῳ, βουλομένῳ τὸν εἰς ἐπισκοπὴν ἀγόμενον μαρτυρίαν τινὰ τῆς ἑαυτοῦ καλοκἀγαθίας ἀπὸ τοῦ παρελθόντος ἐπάγεσθαι βίου, ἤτοι πάντοτε γεγονότα τοιοῦτον; ἢ μεταμελείᾳ γοῦν δεικνύμενον ὅτι δὴ ἀπὸ τοῦ χείρονος ἐπὶ τὸν κρείττονα μετελήλυθεν βίον, ὃ καὶ ἄμεινον εἰσόμεθα ἀπὸ τῶν ἑξῆς· γίνεται δὲ παρὰ πολλοῖς νυνί, ὥς τι καὶ μέγιστον διαπραττομένοις καλόν.

Τὸ οὖν «μιᾶς γυναικὸς ἄνδρα»[1] τινὲς οὕτως ἐξέλαβον, ὃ καὶ ἔγωγε μᾶλλον ἀληθὲς εἶναι πείθομαι· ἐπειδὴ τότε πολλοὶ μὲν κατὰ **103** ταὐτὸν δύο νομίμους εἶχον γυναῖκας, ὃ καὶ ἀπὸ τοῦ Μωσαϊκοῦ νόμου ποιεῖν αὐτοῖς ἐπετέτραπτο· πολλοὶ δὲ νομίμην

**1.** Α΄ Τιμ. 3,2.

ἔχοντες μίαν, ταύτῃ μὲν οὐκ ἤρκοῦντο, ἐκέχρηντο δὲ καὶ ἑτέραις ἤτοι παιδίσκαις ἑαυτῶν, ἢ καὶ εἰς τὰς τυχούσας πολλάκις ἀδεῶς ἁμαρτάνοντες· ὃ καὶ μέχρι τῆς δεῦρο γίνεται παρὰ τῶν οὐκ ἐπιμελομένων σωφροσύνης· τοῦτο εἰρηκέναι τὸν Παῦλον ἔφησαν, ὥστε τὸν τοιοῦτον εἰς τὴν ἐπισκοπὴν παράγεσθαι, ὃς ἀγαγόμενος γυναῖκα σωφρόνως ἐβίω μετὰ ταύτης, προσέχων αὐτῇ καὶ μέχρις αὐτῆς ὁρίζων τῆς φύσεως τὴν ὄρεξιν. Ὡς εἴτις οὕτως ζήσας, ἀποβαλὼν τὴν προτέραν νομίμως ἀγάγοιτο δευτέραν, τὸν αὐτὸν δὴ τρόπον βιοὺς καὶ μετὰ ταύτης, μὴ εἴργεσθαι αὐτὸν κατὰ τὴν τοῦ Παύλου νομοθεσίαν τῆς εἰς τὴν ἐπισκοπὴν παρόδου. Τοῦτο εἰρῆσθαι παρὰ τοῦ μακαριωτάτου Παύλου νενοηκότας τινὰς πάνυ γε ἀποδέχομαι, μάλιστα πάντων οὐ πειθόμενος ὅτι ὁ τὸν δεύτερον γάμον ὁμοίως **104** ἐπιτρέψας τῷ πρώτῳ, εἰ νομίμως γίγνοιτο, εἰς ἐπισκοπὴν παριέναι τὸν τοιοῦτον ἐκώλυσεν. Ὁ γὰρ εἰπών· «λέγω δὲ ταῖς ἀγάμοις καὶ ταῖς χήραις»[1], καὶ ὁμοῦ συνάψας αὐτοὺς καὶ ἕνα νόμον ἐξενεγκών, δῆλος ἦν ἕν τι ἀμφοτέρους ἡγούμενος. Εἰκότως· τί γὰρ διαλλάττει κατά γε τὴν τῆς φύσεως ὄρεξιν ἢ καθόλου μὴ ἐσχηκέναι, ἢ ἐσχηκέναι μέν, ἀποβεβληκότα δὲ οὐκ ἔχειν; ἐπεὶ καὶ συντυχίας τὸ τοιοῦτο μᾶλλόν ἐστιν ἢ γνώμης. Ὁ μὲν γὰρ ἐσχηκὼς ἐπὶ πολὺ τὴν ἑαυτοῦ βιώσασαν γυναῖκα, ἀπέλαυσεν αὐτῆς ἐφ' ὅσον ἐβούλετο, ὁ δὲ μετὰ βραχὺ πολλάκις αὐτὴν ἀποβαλὼν ἐξ ἀνάγκης ἐπὶ τὸν τῆς **[941]** δευτέρας ἔρχεται γάμον· ἔστιν δὲ ταῦτα συντυχίας οὐ γνώμης κατορθώματα, ἅπερ ἐξετάζων ὁ μακάριος δι' ὅλου φαίνεται Παῦλος, **105** τὸν εἰς ἐπισκοπὴν παραγόμενον μάλιστα ἀπὸ τοιούτων γνωρίζεσθαι δεῖν ἡγούμενος· ἐπεὶ καὶ γελοῖον νομίζειν Παῦλον νόμους τιθέναι μὴ γνώμην δοκιμάζοντα, ἀλλ' ἀπὸ τῆς συντυχίας τὴν διάκρισιν ἐργαζόμενον. Εἰ γάρ τις ἐκεῖνο λέγοι, ὅτι μικρὰ καὶ τῆς συντυχίας φροντίσας, πλείονος τῆς ἀκριβείας ἐπιμελόμενος ἐπὶ τοῦ ἐπισκόπου, ἐνόμισεν αὐτὸν ὅπως ποτὲ μιᾷ δεῖν κεκοινωνηκότα γυναικί· ἀκουέτω, ὅτι κατὰ τοῦτο τὸν λόγον οὐδὲ μετὰ Βαπτίσματος τοιοῦτον παράγεσθαι δίκαιον ἦν. Οὐ γὰρ δὴ τὸ Βάπτισμα ἢ οὐκ εἶναι αὐτὸν δυσὶν κεκοινωνηκότα ποιεῖ γυναιξίν, ἢ παρὰ πᾶσιν ὡς μιᾷ κεκοινωνη-

1. Α΄ Κορ. 7,8.



κότα ὑπολαμβάνεσθαι· πολλῷ δὲ πλέον τὸν μιᾷ μὲν συγγεγονότα κατὰ τὴν νόμιμον συνάφειαν, πολλαῖς δὲ ἑτέραις ἀκολάστως συμπλακέντα, καὶ πρόδηλον ἐπὶ τῷ τοιούτῳ γεγονότα βίῳ εἰς τὴν ἐπισκοπὴν παράγεσθαι οὐχ ὅσιον, κατά γε τὸν αὐτὸν λόγον, διὰ τὸ τοῦ Βαπτίσματος τετυχηκέναι. Εἰ γὰρ δὴ τὸν νομί**106**μως δυσὶν συμπλακέντα, σωφρόνως τε αὐταῖς συνεζηκότα, προθέσει γνώμης φάσκοιεν δι' ἀκρίβειαν ἐπὶ τὴν ἐπισκοπὴν οὐκ εἶναι δεκτόν, πολλῷ πλέον τὸν καὶ ἀκολάστως βιώσαντα οὐ θεμιτὸν ἐπὶ τοῦτο προάγεσθαι, ἐπειδὴ τοῦ Βαπτίσματος αὐτῷ τυχεῖν ἐγένετο. Καὶ ταῦτα μὲν εἰρήσθω περὶ τοῦ «μιᾶς γυναικός ἄνδρα»[1]· οὗ δὴ τὴν ἑρμηνείαν σαφέστερον εἰπεῖν ἀναγκαῖον ἡγησάμεθα, μικρὰ τῆς κρατούσης παρὰ τοῖς πολλοῖς φροντίσαντες συνηθείας.

## Α΄ Τιμ. 3,8

**118** Τὸ παλαιὸν δὲ ἀμφοτέραις ταύταις ἐκαλοῦντο ταῖς προσηγορίαις οἱ πρεσβύτεροι. Καὶ τοῦτο ἐπεσημηνάμεθα καὶ ἐν τῇ πρὸς Φιλιππησίους, ἔνθα γράφων φησίν· «συνεπισκόποις καὶ διακόνοις»[2]. Δῆλον γὰρ ὡς οὐκ ἐνῆν ἐπισκόπους μιᾶς πόλεως πλείους εἶναι. Ἄμεινον δὲ ἐν τοῖς πρὸς Τίτον γεγραμμένοις αὐτὸ γνοίη τις ἄν. Εἰπὼν γάρ· «ἵνα καταστήσῃς πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην»[3], καὶ προστεθεικὼς οἵους, ἐπάγει· «δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς **119** Θεοῦ οἰκονόμον»[4]· δέον εἴπερ ἄρα τὸν πρεσβύτερον εἰπεῖν, ἀλλὰ σαφῶς τὸν αὐτὸν 'ἐπίσκοπον' καί 'πρεσβύτερον' ὀνομάζων. Τί δὴ τουτό ἐστιν; ἄξιον γὰρ μὴ παραλιπεῖν τὴν αἰτίαν τῆς ἐναλλαγῆς τῶν ὀνομάτων, καὶ τίνος ἕνεκεν τὰ ὀνόματα διακέκριται νῦν, καὶ οὔτε ὁ ἐπίσκοπος λεχθείη ἂν πρεσβύτερος, οὔτε ὁ πρεσβύτερος δέξεται ἄν ποτε τὴν τοῦ ἐπισκόπου ὀνομασίαν, μέχρις ἂν πρεσβύτερος ᾖ. Τὸ παλαιὸν ὀλίγων ὄντων τῶν εὐσεβῶν πρεσβύτεροι ἁπανταχόσε καθίσταντο, τοῦτο μὲν ἀπὸ τῆς τιμῆς ὀνομαζό**120**μενοι, ὡς καὶ παρὰ Ἰουδαίοις 'πρεσβύτεροι' οἱ τοῦ λαοῦ προηγούμενοι ἐλέγοντο· καλούμενοι δὲ καὶ ἐπίσκοποι ἀφ' οὗπερ μετῄεσαν καὶ ἔργου, τῷ μάλιστα πᾶσιν ἐπισκοπεῖν καὶ

1. Α΄ Τιμ. 3,2. 2. Φιλιπ. 1,1. 3. Τίτ. 1,5. 4. Τίτ. 1,7.

τὴν ἁπάντων οἰκονομίαν ἐγκεχειρίσθαι. Καὶ γὰρ ὁλοτελῆ τῆς ἐκκλησιαστικῆς διοικήσεως τὴν αὐθεντείαν εἶχον τότε, καὶ πάντα ἀπήρτητο τῆς αὐτῶν γνώμης. Τοῦτο δὲ ἔνεστιν καὶ παρὰ τῷ Λουκᾷ μαθεῖν ἀκριβῶς, ὃς ἐν ταῖς Πράξεσιν τῶν Ἀποστόλων λέγει μὲν ἀποστείλαντα τὸν Παῦλον εἰς τὴν Ἔφεσον κεκληκέναι τοὺς πρεσβυτέρους, τίθησιν δὲ αὐτοῦ πρὸς τοὺς παραγεγονότας διάλεξιν· ἐν οἷς ὁ **121** Παῦλος οὕτως φησίν· «προσέχετε οὖν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ»[1]. Προδήλως οὓς αὐτὸς ὠνόμασεν πρεσβυτέρους, τούτους «ἐπισκόπους» εἰπὼν ὑπὸ τοῦ Παύλου κεκλῆσθαι. Εἰ δὴ τὴν τοῦ χειροτονεῖν ἐξουσίαν ἔχοντες, οἱ νῦν ὀνομαζόμενοι ἐπίσκοποι, οὐ μιᾶς Ἐκκλησίας γινόμενοι ἀλλ᾽ ἐπαρχίας ὅλης ἐφεστῶτες, τῇ τῶν Ἀποστόλων ἐκαλοῦντο προσηγορίᾳ οὕτως ἁπάσῃ τῇ Ἀσίᾳ **122** τὸν Τιμόθεον ἐπέστησεν ὁ μακάριος Παῦλος, καὶ τῇ Κρήτῃ τὸν Τίτον. Δῆλον δὲ ὅτι καὶ ἑτέρους ἐπαρχίαις ἑτέραις κατὰ μέρος ἐπέστησεν, ὡς ἕκαστος ὅλης τῆς ἐπαρχίας τὴν φροντίδα ἀναδεχόμενος ἐκπεριήει τὰς ἐκκλησίας ἁπάσας, τοὺς πρὸς τὴν ἐκκλησιαστικὴν λειτουργίαν λείποντας προχειριζόμενος, τὰ χαλεπώτερα τῶν παρ᾽ αὐτοῖς διαλύων, λόγοις διδασκαλίας αὐτοὺς ἐπανορθῶν, τὰ βαρύτερα τῶν ἁμαρτημάτων ἐξιώμενος, καὶ ὅλως ἅπαντα ποιῶν ὅσα εἰκὸς ἦν ἄνδρα ποιεῖν ἡγούμενον, ἁπασῶν τῶν πόλεων τότε ἐχουσῶν τοὺς πρεσβυτέρους, ὡς ἔφην, οἳ τὰς ἑαυτῶν διεῖπον **123** ἐκκλησίας· ὡς εἶναι τότε τοῦτο τῇ ἐπαρχίᾳ τοὺς νῦν ὀνομαζομένους ἐπισκόπους, τότε δὲ Ἀποστόλους, ὅπερ εἰσὶν νῦν τῇ πόλει καὶ τῇ χώρᾳ ἐφ᾽ ἧπερ τὴν κατάστασιν δέχονται. Καὶ τότε μὲν τοῦτον εἶχεν τὸν τρόπον τὰ κατὰ τὴν Ἐκκλησίαν. Ἐπειδὴ δὲ πολλὴ μὲν ἡ τῆς εὐσέβειας ἐπίδοσις ἐγένετο, μέγισται δὲ οὐ πόλεις μόνον ἀλλὰ καὶ χῶραι τῶν πεπιστευκότων ἦσαν, τῶν τε μακαρίων **124** ἀπογενομένων Ἀποστόλων, οἱ μετὰ τοῦτο εἰς τὴν καθόλου προβαλλόμενοι ἐπιστασίαν οὐκέτι τοῖς προτέροις ἐγίνοντο ὅμοιοι, οὐδὲ τὴν ἀπὸ τῶν θαυμάτων μαρτυρίαν ἴσην ἔχειν ἠδύναντο, τυχὸν δὲ καὶ ἐν ἑτέροις πλείστοις ἐλαττούμενοι ἐκείνων ἐφαίνοντο, βαρὺ νομίσαντες τὴν

1. Πράξ. 20,28.



τῶν Ἀποστόλων ἔχειν προσηγορίαν, διείλαντο τὰς ὀνομασίας· καὶ τὸ μὲν τοῦ πρεσβυτέρου καταλελοίπασιν τοῖς πρεσβυτέροις, τὸ δὲ τοῦ ἐπισκόπου τεθείκασιν τῷ τὴν τοῦ χειροτονεῖν ἐξουσίαν ἔχοντι, ὡς ἂν τὴν καθόλου ἐπιστασίαν ἐγκεχειρισμένου. Ἐγένοντο δὲ καὶ πλείους διὰ μὲν τὴν χρείαν τὸ πρῶτον· ὕστερον δὲ καὶ ὑπὸ φιλοτιμίας τῶν ποιούντων, ἐν ἀρχῇ μὲν δύο κατ᾽ ἐπαρχίαν γινομένων ἢ τριῶν τὸ πλεῖστον (τοῦτο δὲ **125** ἐπὶ τῆς δύσεως οὐ πρὸ πολλοῦ μὲν ἐν πλείσταις ἦν, ἐν ἐνίαις δὲ καὶ ἄχρι τῆς δεῦρο πεφυλαγμένον εὕροι τις ἄν)· τοῦ δὲ χρόνου προβαίνοντος οὐ κατὰ πόλιν γινομένων μόνον ἀλλὰ καὶ κατὰ τόπον, ἐν ᾧ μηδὲ χρεία ἦν εἰς ταύτην τινὰ τὴν λειτουργίαν προβάλλεσθαι καταναγκάζουσα.

## Α΄ Τιμ. 3,14-15

**131** [Οἶκον Θεοῦ] Ἐκκλησίαν οὐ τοὺς οἴκους λέγει τοὺς εὐκτηρίους κατὰ τὴν τῶν πολλῶν συνήθειαν, ἀλλὰ τῶν πιστῶν τὸν σύλλογον. Ὅθεν καί ʽστύλονʼ αὐτὴν καί ʽἑδραίωμα τῆς ἀληθείαςʼ ἐκάλεσεν, ὡς ἂν ἐν αὐτῇ τῆς ἀληθείας τὴν σύστασιν ἐχούσης[1].

**132** Ἐκεῖνο δὲ προσθεῖναι ἄξιον, ὅτι μὴ δεῖ θαυμάζειν εἰ μήτε ὑποδιακόνων ἐμνήσθη, μήτε ἀναγνωστῶν. Τῶν γὰρ ἐν τῇ τῆς Ἐκκλησίας λειτουργίᾳ βαθμῶν ἔξωθεν μᾶλλον οὗτοί εἰσιν, διὰ τὴν χρείαν ἐπινοηθέντες ὕστερον, ἣν διὰ τὸ τῶν πεπιστευκότων πλῆθος λοιπὸν δι᾽ ἑτέρων πληροῦσθαι ἠναγκάσθη· ὅθεν οὐδὲ νενόμισται αὐτοὺς πρὸ τοῦ θυσιαστηρίου τὴν χειροτονίαν δέχεσθαι, ἐπεὶ μηδὲ **133** αὐτῷ ὑπηρετοῦνται τῷ μυστηρίῳ, ἀλλ᾽ οἱ μὲν τὴν ἀνάγνωσιν ἐκτελοῦσιν, οἱ δὲ ἔνδον τὰ πρὸς τὴν τῶν διακόνων ὑπηρεσίαν εὐτρεπίζουσιν, ἐπιμελόμενοι καὶ τῶν ἐκκλησιαστικῶν φώτων.

## Α΄ Τιμ. 4,1-3

**139** Ἐπισυνῆψεν ταῦτα τοῖς περὶ τοῦ Χριστοῦ λόγοις[2], οὐχ ἁπλῶς, ἀλλ᾽ ἐπειδὴ τοὺς αὐτοὺς ἠπίστατο ἔσεσθαι τοὺς περί τε

1. Πρβλ. Α΄ Τιμ. 3,15. 2. Πρβλ. Α΄ Τιμ. 4,1.

γάμων καὶ βρωμάτων ἐκεῖνα ἀναιροῦντας[1], καὶ τὸ ἀνειλῆφθαι σάρκα παρὰ τοῦ Θεοῦ Λόγου μέλλοντας ἀναιρεῖν, εἰκότως αὐτὰ ἐκείνοις συνέπλεξεν.

### Α' Τιμ. 4,13

**149** 'Διδασκαλίαν'[2] φησὶν τὴν ἀπόλυτον ἐξήγησιν, 'παράκλησιν' δὲ τὴν ἀπό τινων συμβεβηκότων νουθεσίαν τε καὶ ὑπόμνησιν, ἣν ἐνίοτε μὲν καὶ ἐπὶ τοῦ κοινοῦ γίνεσθαι ἀνάγκη, μάλιστα δὲ καὶ ἐν ταῖς πρὸς τὸν καθ' ἕνα διαλέξεσιν.

### Α' Τιμ. 4,14

**150** Τὸν τῶν Ἀποστόλων σύλλογόν φησιν, οἳ συνήεσάν τε αὐτῷ καὶ συνεφήπτοντο ὡς εἰκὸς ποιουμένῳ τὴν ἐπ' αὐτῷ χειροτονίαν, 'πρεσβυτέ**[944]**ριον'[3] αὐτὸ ὀνομάσας ἀπὸ τοῦ ἐντίμου. Τοῦτο δὲ καὶ νῦν ἔθος ἐν ταῖς τῶν ἐπισκόπων γίνεσθαι προβολαῖς, τὸ μὴ ὑφ' ἑνός, ἀλλ' ὑπὸ πλειόνων τὰς τοιαύτας ἐν τῇ Ἐκκλησίᾳ χειροτονίας πληροῦσθαι.

### Α' Τιμ. 5,4

**155** «Μανθανέτωσαν·»[4] 'τὰ τέκνα', λέγει, 'καὶ τὰ ἔκγονα', οὐχ αἱ **156** χῆραι. Σκοπὸς γὰρ αὐτῷ διδάξαι ὅτι ἐκεῖναι μόναι τῆς ἐκκλησιαστικῆς ἐπιμελείας ἀξιοῦσθαι ὀφείλουσιν, αἷς οὐδεὶς κηδεμονίας ἑτέρωθεν ὑπολέλειπται τρόπος. Ἐὰν τοίνυν (φησίν) ἡ χήρα τέκνα ἔχουσα ἢ ἔκγονα, διδασκέσθωσαν οἱ ἀπ' ἐκείνης τεχθέντες ἐπιμελεῖσθαι τῆς μητρὸς ἤτοι τῆς μάμμης.

### Α' Τιμ. 5,9

**159** Ἀλλ' ἐπειδὴ κατελέγοντο χῆραι διὰ τὸ τῆς ἐκκλησιαστικῆς ἐπιμελείας ἀξιοῦσθαι, οὐκ ἀρετῆς ἐπιθυμίᾳ τὴν χηρείαν με-

**1.** Πρβλ. Α' Τιμ. 4,3. **2.** Πρβλ. Α' Τιμ. 4,13. **3.** Πρβλ. Α' Τιμ. 4,14. **4.** Α' Τιμ. 5,4.



τιοῦσαι, ἀλλ' ὥστε ἀμερίμνως τὰς σωματικὰς ἐκ τῆς Ἐκκλησίας πορίζεσθαι χρείας, ἐκ δὲ τούτου πλεῖστα ὡς εἰκὸς ἐπετελεῖτο κακά...

**160** ...διὰ τοῦτο ἡλικίᾳ καὶ ἀρετῇ ὡρίσατο τὴν εἰς τὸν κατάλογον τῶν χηρῶν συντελεῖν ὀφείλουσαν.

«Γεγονυῖα ἑνὸς ἀνδρὸς γυνή»[1] [οὐχ] ἀντὶ τοῦ 'μὴ δεύτερον ἀγαγο**161**μένη', ἀλλ' 'ἐκείνῳ προσκαρτερήσασα καὶ σωφρόνως βιώσασα, εἴτε ἕνα τοῦτον ἔσχεν, εἴτε καὶ δεύτερον ἠγάγετο'.

### Α' Τιμ. 5, 10

Ἡ γὰρ τῶν οἰκείων μὴ ἐπιμελησαμένη τέκνων[2], δήλη πάντως ἐστὶν πολλὴν ἐπὶ τῆς ψυχῆς τὴν ἀπανθρωπίαν ἔχουσα.

**162** Τοῦτο προσέθηκεν ἐπὶ τὸ δεῖξαι ὅτι καὶ μετ' ἐπιμελείας αὐτοὺς ὑποδέχεσθαι χρή.

### Α' Τιμ. 5,11-12

**163** Ἐπειδὰν ταῖς χήραις ἐγκαταλεγῶσιν τῆς Ἐκκλησίας καὶ ἀξιωθῶσιν ἐπιμελείας, πρὸς στρήνους[3] ἐντεῦθεν χειραγωγηθεῖσαι τῷ μηδὲν ἔχειν ὅπερ μεριμνῶσαι ταπεινοῦσθαι δύνανται τὴν διάνοιαν, μακρὸν χαίρειν εἰποῦσαι τῇ οἰκείᾳ ἐπαγγελίᾳ μελετῶσιν γάμον[4], ἀμερίμνως τὰ τῆς χρείας ποριζόμεναι.

### Α' Τιμ. 5,24-25

**173** Βούλεται εἰπεῖν ὅτι ὥσπερ τὰ τῶν οὐκ εὖ βιούντων ἀνθρώπων πταίσματα πρόδηλά ἐστιν[5] ἀναγκαίως τὴν ἐπὶ τοῦ μέλλοντος αἰῶνος τιμωρίαν αὐτοῖς ἐπάγοντα, εἰ καί (ὡς εἰκός) τινὰ παρ' αὐτῶν λανθάνει τοὺς πολλούς· οὕτως καὶ ἐπὶ τῶν εὐσεβούντων τὰ πολλὰ μὲν πρόδηλα τοῖς ἀνθρώποις ἐστίν· ὅσα δέ ἐστιν λανθάνοντα τοὺς πολλούς (ταῦτα γὰρ λέγει «τὰ ἄλλως ἔχοντα»[6]) οὐχ οἷόν τε πάντα ἄδηλα εἶναι. Ὥστε (φησίν) μὴ τοῦτο δεδιὼς μὴ οὐ χρη-

**1.** Α' Τιμ. 5,9. **2.** Α' Τιμ. 5,10. **3.** Πρβλ. Α' Τιμ. 5,11. **4.** Πρβλ. Α' Τιμ. 5,12. **5.** Πρβλ. Α' Τιμ. 5,24. **6.** Α' Τιμ. 5,25.

στὴν ἐντεῦθεν παρὰ τοῖς ἀνθρώποις ὑπόληψιν κτήσῃ, τῇ ὑδροποσίᾳ σαυτὸν κατανάλισκε'· εἰδὼς ὅτι καὶ ἡ παρὰ τοῖς ἀνθρώποις ὑπόληψις, ἐὰν ἡμεῖς κατὰ τὸ προσῆκον βιῶμεν, κατά γε τὸ πλεῖστον καλλίστη γίνεται, οὐδὲν ἀπὸ τούτων παραβλαπτομένη, κἂν δοκῇ πολλὰ τῶν καθ' ἡμᾶς τοὺς πολλοὺς λανθάνειν.

### Α΄ Τιμ. 6,4-5

**177** [Ἐντεῦθεν γίνονται] «φθόνοι»[1] μὲν ἑκάστου βασκαίνοντος τὸ ὅπως ποτὲ εὐδοκιμεῖν ἐν τῇ διαλέξει δυνηθέντι· «ἔριδες» δὲ ἐκφερομένων αὐτῶν εἰς μάχας, καί «βλασφημίαι» δέ, πολλὰ μὲν καὶ αὐτῶν λεγόντων οἷα μὴ προσῆκεν, μάλιστα δὲ τῶν ἐκτὸς βλασφημούντων ἡμᾶς, ὡς περὶ τὸ ζητεῖν τὴν σχολὴν ἔχοντας. Ἀνάγκη οὖν καὶ ὑπονοίας πονηρὰς περὶ ἡμῶν ἐγγίνεσθαι τοῖς ἐκτὸς ἀπὸ τούτων· ἄνθρωποι διεφθορότες τὴν διάνοιαν καὶ οὐδεμίαν τῆς ἀληθείας ἐπιθυμίαν ἔχοντες, πάντα κέρδους ἕνεκεν ἐπιτηδεύοντες[2].

### Α΄ Τιμ. 6,12

**183** Πολλοὶ γὰρ ἦσαν οἱ τὸν μακάριον Τιμόθεον συνόντα τῷ μακαρίῳ Παύλῳ εὐσεβείας ἕνεκεν εἰδότες, καὶ μὴν καὶ πεπονθότα οὐκ ὀλίγα διὰ ταύτην[3].

### Α΄ Τιμ. 6,15-16

**184** 'Μακάριον'[4] αὐτὸν ἐκάλεσεν ἐπὶ συστάσει τῆς μελλούσης προσέσεσθαι ἡμῖν ἀτρεπτότητος, 'δυνάστην' δὲ ὅτι δὴ τὴν ἀνάστασιν ἐργάσασθαι δυνατός, καὶ μὴν καί 'βασιλέα' καί 'κύριον' ἐπὶ ἀποδείξει τοῦ πάντων κρατεῖν καὶ δύνασθαι ὑποτάξαι καὶ θάνατον ἀφελεῖν· διὰ τοῦτο καί 'μόνον ἔχοντα ἀθανασίαν'[5], ὡς ἂν **185** ἱκανὸν τοῦτο ἡμῖν παρασχεῖν· καὶ τό «φῶς δὲ οἰκῶν ἀπρόσιτον», σύστασιν ἔχον τοῦ ἐν ἀφάτῳ τινὶ καὶ ἀπροσίτῳ τυγχάνοντα φωτὶ

**1.** Α΄ Τιμ. 6,4. **2.** Πρβλ. Α΄ Τιμ. 6,5. **3.** Πρβλ. Α΄ Τιμ. 6,12. **4.** Πρβλ. Α΄ Τιμ. 6,15. **5.** Πρβλ. Α΄ Τιμ. 6,16.



ὄντως δὴ φωτεινὰ καὶ τῶν δικαίων ποιήσειν τὰ σώματα· οὕτως καὶ τό «ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται», ὥστε δεῖξαι ὅτι οὐδὲν θαυμαστὸν μὴ φαίνεσθαι νῦν τὰ τότε περὶ ἡμᾶς ἐσόμενα, ὅπου γε καὶ αὐτὸς ὁ τούτων αἴτιος ἀόρατος ἡμῖν πάντῃ τὴν φύσιν ἐστίν.

# ΕΙΣ ΤΗΝ Β΄ ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ

**189 [945]** Ὅτι μὴ ἀκολούθως τῇ προτέρᾳ ταύτην γεγράφηκεν, μηδὲ ἐπὶ τῶν αὐτῶν διαγόντι τόπων δῆλον, ἀλλὰ μετὰ πολὺν χρόνον ἄγαν· ἐκείνην μὲν γὰρ ἀπέστειλεν αὐτῷ ἐν Ἐφέσῳ διάγοντι, ἐν ταύτῃ **190** δὲ πρὸς τῷ τέλει φησίν· «Τυχικὸν ἀπέστειλα εἰς Ἔφεσον»[1]· εἶπεν δ' ἂν ὅτι 'πρός σε,' εἴπερ ἐπὶ τῆς Ἐφέσου διάγοντι καὶ ταύτην ἔγραφεν τὴν ἐπιστολήν. Κἀκείνην μὲν οὕτω γράφων δῆλός ἐστιν ὡς ἂν μετ' οὐ πολὺ πρὸς αὐτὸν ἐλευσόμενος, ταύτην δὲ ὡς μετ' οὐ πολὺ διὰ τὴν τοῦ Χριστοῦ ὁμολογίαν τὴν ἐκ τοῦδε τοῦ βίου μετάστασιν δέξασθαι προσδοκῶν· κελεύει δὲ αὐτὸν καὶ θᾶττον πρὸς αὐτὸν ἀφικέσθαι. Γράφει δὲ αὐτὴν ἀπὸ Ῥώμης, ἡνίκα **191** τῆς εὐσεβείας ἕνεκεν τὴν κεφαλὴν ἀποτέμνεται.

**192** Διεγείρων αὐτὸν εἰς τὸ μετὰ σπουδῆς τὰ ὑπὲρ τῆς ἑτέρων ὠφελείας ἐπιτελεῖν σὺν ἡδονῇ, καὶ τὸ πάσχειν ὑπὲρ τούτων αἱρούμενον.

**193** Μέμνηται δὲ καὶ τῶν πρὸς τὸ χεῖρον βλεπόντων, οὐ μικρῶς αὐτῶν καθαπτόμενος. Πρὸς δέ γε τῷ τέλει τῆς ἐπιστολῆς τὰ καθ' ἑαυτὸν δηλοῖ, ἡνίκα ἐγένετό τε καὶ ἔσται.

## Β΄ Τιμ. 1,7

**196** Οὐ τοίνυν οὐδὲ δειλιᾶν προσήκει τὰ παρὰ τῶν ἔξωθεν ἐπαγόμενα κακά· διὰ τί; ὅτι ἡ ἐνοῦσα ἡμῖν τοῦ Πνεύματος χάρις ἱκανὴ καὶ ἐνισχύειν ἡμᾶς[2], καὶ πρὸς τὴν ἀγάπην ἐπισφίγγειν τοῦ Θεοῦ, **197** καὶ σωφρονεστέρους ἐν τοῖς λογισμοῖς μένειν τοῖς οἰκείοις ποιεῖν.

## Β΄ Τιμ. 1,12

**200** '[Ὁ νῦν τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος] ὥσπερ τινά «παρακαταθήκην»[3] μοι δεδωκὼς ἐπ' ἐλπίδι τῶν μελλόντων, διαφυλάξαι τοῦτο ἀκέραιον, ἐπὶ τῷ τὴν ὁλοτελῆ με τότε τοῦ Πνεύματος κομίσασθαι χάριν, ἧς ἐπ' ἐλπίδι νυνὶ κεκόμισμαι ταύτην'.

---

**1.** Β΄ Τιμ. 4,12. **2.** Πρβλ. Β΄ Τιμ. 1,7. **3.** Β΄ Τιμ. 1,12.



## Β΄ Τιμ. 3,2-4

**213** «Φίλαυτοι»[1] εἰσὶν οἱ πάντα πρὸς τὴν ἑαυτῶν ὠφέλειαν ποιοῦντες· «ἀλαζόνες», καυχώμενοι ἔχειν ἃ μὴ ἔχουσιν· «ὑπερήφανοι», μεγάλα **214** φρονοῦντες ἐπὶ τοῖς οὖσιν· «βλάσφημοι», κατηγορίαις χαίροντες.

«Ἀνόσιοι», ἐπιμέλειαν τοῦ δικαίου μὴ ποιούμενοι· «ἄστοργοι»[2], περὶ οὐδένα σχέσιν ἔχοντες· «ἄσπονδοι», οὐ βέβαιοι περὶ τὰς φιλίας, οὐδὲ ἀληθεῖς περὶ ἃ συντίθενται· «διάβολοι», ταῦτά τε ἐκεῖ κἀκεῖνα ἐν**215**ταῦθα λέγοντες ἐπὶ τῷ κατεργάζεσθαι μάχην· «ἀκρατεῖς», ἥττους τῶν παθῶν· «ἀνήμεροι», οὐδεμιᾶς χρηστότητος ἐπιμελούμενοι· «τετυφωμένοι»[3], μεγάλα φρονοῦντες ἐπὶ τοῖς μὴ προσοῦσιν· διαφέρει δὲ τοῦ ἀλαζόνος τῷ τὸν μὲν τετυφωμένον ἀπὸ τῆς γνώμης λέγειν, ἀλαζόνα δὲ τὸν ἐπὶ ῥήματι καυχώμενον.

## Β΄ Τιμ. 3,7

**219** Ἀνωτέρω ἐπὶ τῶν ἀπατωμένων λέγει, ὡς ἂν οὐδέποτε ἐπιλειφόντων αὐτοῖς τῶν πειθομένων οἷς λέγουσιν. Ἐνταῦθα δὲ παρὰ τοῖς τῆς ἀληθείας δοκιμασταῖς οὐ προκόπτειν αὐτούς φησιν[4]· οἳ γὰρ ἐν ἀρχῇ πολλάκις οὔπω τὰ κατ' αὐτοὺς εἰδότες, τῷ σχήματι δελεάζονται, τῷ χρόνῳ μέντοι τὴν ἐνοῦσαν αὐτοῖς τῶν δογμάτων διαφθορὰν ἐπιγινώσκουσιν.

## Β΄ Τιμ. 4,3-4

**224 [948]** «Μύθους»[5] εἶπεν τὰ ἐναντία τῆς εὐσεβείας ῥήματα.

## Β΄ Τιμ. 4,10

**227** Τὰς νῦν καλουμένας Γαλλίας·[6] οὕτως γὰρ αὐτὰς πάντες ἐκάλουν οἱ παλαιοί.

---

**1.** Β΄ Τιμ. 3,2. **2.** Β΄ Τιμ. 3,3. **3.** Β΄ Τιμ. 3,4. **4.** Πρβλ. Β΄ Τιμ. 3,7. **5.** Β΄ Τιμ. 4,4. **6.** Πρβλ. Β΄ Τιμ. 4,10.

### Β΄ Τιμ. 4,13

**228** «Μεμβράνας»[1] ῥωμαϊκώτερον τὰ εἰλητὰ ἐκάλεσεν, ὡς ἀπὸ τῆς ἐν Ῥώμῃ συνηθείας ἀδιαφόρως τῇ λέξει καταχρησάμενος· ἀφ' ἧς δὴ καὶ ἔγραφεν τὴν ἐπιστολήν. Ἐν εἰλητοῖς γὰρ εἶχον τὸ παλαιὸν τὰ τῆς θείας Γραφῆς, ὥσπερ οὖν ἄχρι τῆς δεῦρο οἱ Ἰουδαῖοι τὰ πλεῖστα ἔχουσιν. «Βιβλία» δὲ εἶπεν κατὰ κοινοῦ, ὡς ἂν καὶ ἐν ἑτέρῳ σχήματι τυχὸν ἔχων βιβλία· γελάσαι δὲ ἄξιον τῶν ἐνταῦθα **229** εἰρηκότων «φαιλόνην» τὸν Ἀπόστολον οὐ τὸ ἔνδυμα καλεῖν, ἀλλά τι εἶδος βιβλίου. Οἵ οὐ προσέσχον τῇ ἐπαγωγῇ· περιττὸν γὰρ ἦν εἰπεῖν «καὶ τὰ βιβλία», εἴπερ δὴ κἀκεῖνο βιβλίου εἶδος ἦν δυνάμενον τοῖς λοιποῖς συσσημαίνεσθαι.

**1.** Β΄ Τιμ. 4,13.

# ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΤΙΤΟΝ

### Τίτ. 1,1-4

**235 [948]** Τὰ μὲν τῆς προγραφῆς ἐν τούτοις· «Παῦλος δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ, Τίτῳ γνησίῳ τέκνῳ»[1], καὶ τὰ ἑξῆς· παρέθηκεν δὲ τὰ ἀπὸ τοῦ «κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ», ἄχρι τοῦ «Τίτῳ γνησίῳ τέκνῳ»[2].

### Τίτ. 1,5

**236** Ὁ γὰρ τῆς εὐσεβείας λόγος παρεδέδοτο πᾶσιν παρ' αὐτοῦ· ἐλείπετο δὲ οἰκονομῆσαι τὰ κατὰ τοὺς πεπιστευκότας καὶ εἰς ἁρμονίαν αὐτοὺς καταστῆσαι ταῖς ἐκκλησιαστικαῖς διατυπώσεσιν[3]. **243** Οἱ κατὰ τῶν χριστιανικῶν συντάξαντες δογμάτων ἐνταῦθα ἔφασαν καὶ τὸν μακάριον Παῦλον ἀποδέχεσθαι τὴν τοῦ ποιητοῦ φωνὴν καὶ ἐπιμαρτυρεῖν αὐτῷ, ὡς ἂν δικαίως ταῦτα ὑπὲρ τοῦ Διὸς περὶ Κρητῶν εἰρηκότι[4]. Οὐ προσεσχηκότες οὔτε τῷ τρόπῳ τῆς τοῦ Ἀποστόλου χρήσεως, οὔτε τῷ «ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής»[5]· οὐ γὰρ τὸ ποίημα οὐδὲ τὴν τοῦ ποιητοῦ ἀποδέχεται φωνήν, ἀλλ' ὡς παροιμίᾳ τῇ τοῦ ποιητοῦ φωνῇ χρησάμενος, τυχὸν **244** καὶ τῶν τότε τῇ φωνῇ κεχρημένων, ὥσπερ οὖν καὶ ἕτερα πολλὰ τῶν παρὰ τοῖς ἀρχαίοις φερομένων ἐν παροιμίαις χρήσει τοῖς ὕστερον ἐγένετο.

### Τίτ. 1,15

Ἐπειδὴ περὶ τὰ βρώματα ἀκριβολογεῖσθαι ἐδόκουν, ὡς ἂν κατὰ **245** νόμον τῶν μὲν δέον μεταλαμβάνειν, τῶν δὲ ἀπέχεσθαι· 'τῶν γεγονότων (φησίν) ἀκάθαρτον οὐδέν, εἰ δή τις αὐτῶν καθαρᾷ μεταλαμβάνοι τῇ γνώμῃ· ἐπειδὰν δέ τις δι' ἀπιστίαν ἔχῃ τὴν συνείδησιν μεμολυμμένην[6], καθαρὸν οὐδὲν τῷ τοιούτῳ, βλάπτεται γὰρ ὑφ' ἁπάντων ὁμοίως'.

**1.** Τίτ. 1,1. **2.** Τίτ. 1,4. **3.** Πρβλ. Τίτ. 1,5. **4.** Τίτ. 1,12. **5.** Τίτ. 1,13. **6.** Πρβλ. Τίτ. 1,15.

Τίτ. 2,3

**246 [949]** Οὐχ ὥς τινες ἐνόμισαν, ὅτι χειροτονία τις ἦν τότε ἐν γυναιξὶν **247** πρεσβυτέρων. Διδάσκει γὰρ ὁμοίως καὶ τῶν γυναικῶν τὰς τὴν ἡλικίαν παλαιοτέρας τὸ σχῆμα ἔχειν ἱεροπρεπές[1], ἵνα εἴπῃ 'θαυμαστὸν καὶ αἰδέσιμον'.

---

**1.** Πρβλ. Τίτ. 2,3.

# ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ

Φιλήμ. 1

**268 [949]** 'Συνεργός'[1] δὲ τῷ περὶ τὴν τῶν 'Αγίων ἐσπουδακέναι θεραπείαν, οὐ μικρὰ συμβαλλόμενον τοῖς τὸ Εὐαγγέλιον κηρύττειν ἐγκεχειρισμένοις.

Φιλήμ. 2

**269** Καὶ ὥσπερ 'ἀγαπητόν' ἐκεῖνον ἐκάλεσεν, οὕτως καὶ ταύτην, ἅτε δὴ μηδὲν διαφέρειν κατὰ τὴν εὐσέβειαν ἀνδρῶν τὰς γυναῖκας ἡγούμενος.

Ἡγεῖτο δὲ ταύτην ἐπ' ἐκείνων ἁρμόττειν τὴν προσηγορίαν, ἐφ' ὧν πάθους αἰσχρότης οὐκ ἐμεσίτευσεν.

**270** Υἱῷ αὐτοῦ λέγει, τοῦ τε Φιλήμονος καὶ τῆς 'Απφίας[2].

Φιλήμ. 11

**278** Ἵνα μὴ δόξῃ τὸν ἀλλότριον οἰκέτην σφετερίζεσθαι, διὰ τοῦτο «σοί», εἶτα «ἐμοί·»[3] 'σοὶ κατὰ τὴν ὑπηρεσίαν, ἐμοὶ κατὰ τὴν βελτίωσιν τοῦ τρόπου'.

Φιλήμ. 16

**281** 'Αντὶ τοῦ· 'ἵνα αὐτὸν κομίσῃ, οὐκέτι δουλικὴν εὔνοιαν μόνον ἐνδεικνύμενον περὶ σέ, ἀλλὰ καὶ μείζονα ἢ κατὰ δοῦλον[4], διὰ τὴν τοῦ τρόπου μεταβολήν'.

---

**1.** Πρβλ. Φιλήμ. 1. **2.** Πρβλ. Φιλήμ. 2. **3.** Φιλήμ. 11. **4.** Πρβλ. Φιλήμ. 16.

# ΣΧΟΛΙΑ
# ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ

## Α΄*

**200 [952]** Ὡς οὐκ ἀπίστοις ἔγραφε τοῖς ἄσπονδον πρὸς αὐτὸν μῖσος κεκτημένοις, ἀλλὰ τοῖς μετεσχηκόσιν ἁπάντων ὧν δεῖ μετεῖναι τοῖς πιστεύουσιν· εἶτα οὐδὲ τοῖς τυχοῦσιν ἁπλῶς, ἀλλὰ γὰρ τοῖς ἐπὶ τῶν ἔργων τῆς πίστεως τὴν βεβαίωσιν καὶ τῆς ἀρετῆς τὴν ἀκρίβειαν ἐπιδειξαμένοις, ὡς καὶ τὰ ἐν τῇ ἐπιστολῇ κείμενα δείκνυσιν. Ὥστε καὶ ἀποδεδόσθαι αὐτοῖς ἔδει τὴν Ἐπιστολὴν ὡς Παύλου γεγραφότος αὐτοῖς, ὥσπερ οὖν καὶ ἐπὶ τῶν λοιπῶν ἐγίνετο· οὐδὲ γὰρ αὐτοὺς ὠφελεῖν τε τὰ ἀναγεγραμμένα ἐδύνατο μὴ τούτου γιγνομένου. Πρὸς δ' αὖ τούτοις καὶ τὰ πρὸς τῷ τέλει τῆς Ἐπιστολῆς γεγραμμένα δείκνυσιν ὅ φημι· «παρακαλῶ γὰρ ὑμᾶς», φησίν, «ἀδελφοί, ἀνέχεσθαι τοῦ λόγου τῆς παρακλήσεως· καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν»[1]. Τίσι δὲ ἔγραφεν ὅτι «ἐπέστειλα ὑμῖν», οὐκ ὄντων ἐκείνων οἷς ἀποδεδόσθαι ἦν ἀνάγκη τὸ γράμμα; εἶτα ἐπάγει· «γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ ἐὰν τάχιον ἔρχηται ὄψομαι ὑμᾶς»[2]. Ὁρᾷς ὅτι δῆλος ἦν ὁ καὶ τῇ Ἐπιστολῇ τοῦ γράμματος διακονησάμενος, μεθ' οὗ καὶ ὄψεσθαι αὐτοὺς εἰ τάχιον ἐπανέλθοι, σαφῶς ὑπισχνεῖται. Τίς οὖν ἡ τούτου αἰτία (τοῦ μὴ προτετάχθαι αὐτοῦ τὸ ὄνομα); εὔδηλος καὶ ἄγαν σαφής. Διείλοντο Βαρνάβας τε καὶ αὐτὸς μετὰ τῶν περὶ τὸν μακάριον Πέτρον τὸ κήρυγμα[3], οὐχ ἵνα τὰ μὲν οὗτοι, τὰ δὲ ἐκεῖνοι διδάσκωσιν — εἷς γὰρ ἦν αὐτοῖς ὁ σκοπός — **201** ἀλλ' ἵνα οἱ μὲν τοὺς ἀπὸ ἐθνῶν, οἱ δὲ τοὺς ἀπὸ τῶν Ἰουδαίων τῇ πίστει προάγωσιν, διὰ τὴν τότε κρατοῦσαν ἔτι φιλονεικίαν ἀπὸ τῆς ἐν τῷ νόμῳ συνηθείας τῶν Ἰουδαίων τοῖς ἐξ

* Κατὰ τὴν ἔκδοσιν K. Staab, Pauluskommentare aus der griechischen Kirche (Neutestamentliche Abhandlungen XV), Münster 1933, σσ. 200-212 (J.-P. Migne, PG 66, 952-968).

**1.** Ἑβρ. 13,22. **2.** Ἑβρ. 13,23. **3.** Πρβλ. Γαλ. 2,9.



ἐθνῶν ἐπιμίγνυσθαι οὐκ ἀνεχομένων, οἰκονομικώτερον τῇ διαιρέσει ταύτῃ χρησάμενοι. Ἐχρημάτιζον οὖν οἱ μὲν ἐθνῶν Ἀπόστολοι, οἱ δὲ τῶν ἐκ περιτομῆς· οἱ δέ γε πεπιστευκότες κοινούς, ὡς εἰκός, διδασκάλους τε καὶ Ἀποστόλους ἐνόμιζον εἶναι. Ὅτε μὲν οὖν ἔγραφε, τοῖς ἀπὸ ἐθνῶν, εἰκότως ὡς αὐτῶν Ἀπόστολος αὐτοῖς ἐπιστέλλει, ὅτε δὲ πρὸς τοὺς ἀπὸ Ἑβραίων, οὐκέτι.

### Ἑβρ. 1,2-3

«Δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν»[1]. Ὁ «αἰών» φύσις μέν ἐστιν οὐδεμία ἐν ὑποστάσει τὸ εἶναι ἔχουσα, διάστημα δέ τι νοεῖται εἶναι. Ἀπό τινος οὖν ἐπινοούμενον ἀρχὴν τοῦ εἶναι ἔχοντος ἄχρις τῆς ἐκείνου τελευτῆς, ἢ ἑτέρου τινὸς ἀρχὴν εἰληφότος ὁμοίως· οὐ γὰρ ἐν ἰδίᾳ ὑποστάσει τὰ χρονικὰ νοοῦμεν διαστήματα, τοῖς δὲ ἀρχὴν τοῦ εἶναι εἰληφόσιν αὐτὰ συνεπινοοῦμεν, ἐκείνοις τῆς τε ἀρχῆς αὐτοῦ καὶ τοῦ τέλους τὴν φαντασίαν δεχόμενοι. Οὐχ ὥσπερ ἐπὶ τοῦ Θεοῦ λεγόντων ὅτι ἦν μόνον ὃς ἐπειδήπερ ἦν ἀεί, οὐ δυνατὸν ἡμᾶς αὐτοῦ συνόντα ἐπινοεῖν διαστήματα τῇ ζωῇ. Τὸ τοίνυν εἰπεῖν τῶν αἰώνων Ποιητὴν οὐδὲν ἕτερόν ἐστιν εἰπεῖν ἢ ἀΐδιον, παντὸς ὑπερκείμενον διαστήματος, ἀπέραντον ἔχοντα τὴν οἰκείαν ὕπαρξιν. Ὁ μὲν γὰρ Ποιητὴς πρότερός ἐστι τῶν ποιηθέντων, τῷ δὲ ἀρχὴν ἔχοντι συνεπινοεῖσθαι διάστημα ἀνάγκη. Ὥσπερ δὲ ὅταν λέγῃ ὁ μακάριος Δαβίδ· «ὁ ὑπάρχων πρὸ τῶν αἰώνων»[2], οὐ τοῦτο βούλεται εἰπεῖν ὅτι τῶν οὐχ ὑφεστώτων προϋπάρχει, ἀλλ' ἵνα εἴπῃ ὅτι παντός ἐστι διαστήματος ἀνώτερος ἀεὶ τὸ εἶναι ἔχων. Οὕτως, ὅταν λέγῃ· «δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν», οὐχὶ τῶν οὐχ ὑφεστώτων βούλεται αὐτὸν Ποιητὴν εἰπεῖν, ἀλλ' ἀεὶ ὄντα καὶ τῶν ἀρχὴν ἐσχηκότων αἴτιον ἁπάντων.

«Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ»[3]. Καλῶς οὐκ εἶπεν τοῦ Θεοῦ ἀλλὰ «τῆς δόξης», τῷ καταπληκτικῷ τοῦ ὀνόματος οὐδὲ περιεργάζεσθαι τὰ τῆς φύσεως ἐκείνης ἐπιτρέπων ἡμῖν, ὡς ἂν μόνον δοξάζεσθαι ὀφειλούσης παρ' ἡμῶν· τῇ μὲν παραβολῇ τοῦ ἀπαυγάσματος χρησάμενος εἰς ὃ μά-

**1.** Ἑβρ. 1,2. **2.** Ψαλ. 54,19. **3.** Ἑβρ. 1,3.

λιστα ἀναγκαῖον ἐνόμιζεν, τῇ δὲ ἐπαγωγῇ τὸ ἀπεμφαῖνον τῆς παραβολῆς ἐκλύσας· ἀκριβῆ γάρ, φησί, σώζει τὸν χαρακτῆρα τῆς φύσεως, ὥστε ὅπερ ἂν ἐκείνην νοήσῃς τὴν ὑπόστασιν, τοῦτο νόει καὶ ταύτην εἶναι, ἀκριβεῖς φέρουσαν ἐκείνης τοὺς χαρακτῆρας τῷ κατὰ μηδὲν διαλλάττειν αὐτὴν ἐκείνης.

## Ἑβρ. 1,3

**202** Τοῦτ' ἔστιν οὐ Ποιητὴν μόνον εἰπεῖν τῶν ὄντων, ἀλλὰ γὰρ καὶ τὸ πολλῇ ποιεῖν αὐτὰ περιουσίᾳ τῆς δυνάμεως ὡς ἂν ἐν τῇ φωνῇ αὐτοῦ πάντων ἐπηρτημένων[1]. Οὐδὲν γὰρ διαλλάττει τοῦτο τοῦ καλοῦντος «τὰ μὴ ὄντα ὡς ὄντα»[2], ἢ καὶ τῆς τοῦ μακαρίου Μωυσέως διηγήσεως λέγοντος· «καὶ εἶπεν· γενηθήτω φῶς, καὶ **[953]** ἐγένετο φῶς· γενηθήτω στερέωμα, καὶ ἐγένετο στερέωμα»[3].

## Ἑβρ. 1,7-8

Τὸ μὲν τῆς ὑπηρεσίας τὴν ὀξύτητα σημαίνει, τὸ δὲ τῆς λειτουργίας τὸ δυνατόν. Ταῦτα δὲ αὐτοὺς ἐκεῖθεν γεγενῆσθαι εἰπών, παρέστησεν ὡς ἐκεῖθεν καὶ τὸ δύνασθαι ταῦτα ἔχουσιν. Διαστέλλεται δὲ πρὸς τό «ὁ ποιῶν» τό «Θεὸς καὶ θρόνος καὶ βασιλείας ῥάβδος», ἃ πάντα τῆς ἀνωτάτω τιμῆς τε καὶ ἀξίας σύμβολα· καὶ γὰρ τὸ Θεὸς τὴν ἀνωτάτω σημαίνει φύσιν, καί «ὁ θρόνος καὶ ἡ ῥάβδος» ἀπὸ τῶν ἀνθρωπίνων καὶ τὸ ταύτης βέβαιον παρίστησιν· εἶτα καί «εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»· τὸ μὲν γάρ «ποιῶν» ἀπὸ καιροῦ εἶναι τὸ ἦρχθαι δείκνυσι τοὺς γεγονότας, τοῦτο δὲ τὸ τῆς βασιλείας ἀΐδιον παρίστησιν.

## Ἑβρ. 1,12

Ἐντεῦθεν συνιδεῖν ἐστιν ὅτι περὶ τῆς θείας φύσεως ὅταν ἡμῖν ἡ Παλαιὰ Διαθήκη διαλέγηται, οὐ περὶ τοῦ Πατρὸς ἀφωρισμένως λέγει μόνου, ὥσπερ οἴονται οἱ αἱρετικοί, τό «ἐγώ εἰμι ὁ Θεός, καὶ

**1.** Πρβλ. Γεν. κεφ. 1. **2.** Ρωμ. 4,17. **3.** Γεν. 1,36.



οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ»[1], καὶ ὅσα τοιαῦτα λαμβάνειν ἐπ' αὐτοῦ πειρώμενοι μόνου. Τοὐναντίον δὲ ὅσα ἂν ὡς περὶ Θεοῦ λέγῃ τὴν ἀνωτάτω φύσιν ἐξηγουμένη, οὕτω φησὶν ὡς ἂν καὶ Πατρὶ καὶ Υἱῷ διὰ τὴν τῆς φύσεως κοινωνίαν ὁμοίως ἁρμόττειν δυνάμενα. Ἐπεὶ πῶς ὁ Ἀπόστολος τὴν δευτέραν εἵλκυσεν ἐπ' αὐτοῦ μαρτυρίαν οὐδὲν ἔχουσαν ὃ τῆς ἰδιότητος τοῦ προσώπου σημαντικὸν εἶναι ἠδύνατο, ὡσπεροῦν καὶ τὴν ἀνωτέραν; ἢ οὐχὶ τὸ αὐτὸ καὶ ἐν τῇ πρὸς Ῥωμαίους φαίνεται πεποιηκώς, ἔνθα φησίν· «γέγραπται γάρ· ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ»[2]; οὐδὲ γὰρ ἐκείνην τὴν μαρτυρίαν εὕροι ἄν τις τοιοῦτό τι ἔχουσαν ὃ τούτων ἀφωρισμένως ἐδήλου.

## Ἑβρ. 1,14-2,1

**203** Τὸ μέν «λειτουργικά» εἶναι «πνεύματα»[3] ἀπὸ τῆς προκειμένης εἶχε μαρτυρίας, ἐπισυνῆψε δὲ λοιπὸν αὐτὸς τὸ τῆς διακονίας εἶδος, λέγων ὅτι τοῖς ὑπὲρ τῆς ἡμετέρας σωτηρίας διακονούμενοι ἅπαντα πράττουσιν· οὐ γὰρ μικρὸν εἰς προσθήκην εἰδέναι τῆς διακονίας τὴν χρείαν.

«Διὰ τοῦτο δεῖ περισσοτέρως προσέχειν ἡμᾶς τοῖς ἀκουσθεῖσιν, μή ποτε παραρυῶμεν»[4]. Διὰ τοῦτο, φησί, δεῖ τοῖς παρ' αὐτοῦ λεχθεῖσιν νέμειν τὴν σπουδήν, φυλαττομένους μή ποτε παρατροπήν τινα ἀπὸ τῶν κρειττόνων δεξώμεθα.

## Ἑβρ. 2,3-4

Ἔδειξε καὶ τοῖς πράγμασι τούτων πολὺ τὸ πρὸς ἐκεῖνα διάφορον, ἐκεῖ μέν «λόγον» εἰπών, ἐνταῦθα δέ «σωτηρίαν»· ἐπειδὴ γὰρ ἐκεῖνο μὲν νο**[956]**μίμων δόσις ἦν μόνον, ἐνταῦθα δὲ καὶ χάρις πνεύματος καὶ λύσις ἁμαρτημάτων καὶ Βασιλείας Οὐρανῶν ἐπαγγελία καὶ ἀθανασίας ὑπόσχεσις. Ὅθεν καὶ δικαίως «τηλικαύτης»[5] εἶπεν τῇ προσθήκῃ τὸ μέγεθος αὐτῆς δεικνύς, κἀκεῖ μέν «διὰ τῶν Ἀγγέλων» δοθείς, ἐνταῦθα δέ «διὰ τοῦ Κυρίου». Καὶ ἐπειδὴ θαύματα παρ' ἐκείνοις ἦν ὥστε μηδὲ κατὰ τοῦτο αὐτῶν

**1.** Ἠσ. 45,21. **2.** Ρωμ. 14,11. **3.** Ἑβρ. 1,14. **4.** Ἑβρ. 2,1. **5.** Ἑβρ. 2,3.

ἠλαττῶσθαι δοκεῖν, καλῶς ἐπήγαγε τό «συνεπιμαρτυροῦντος Θεοῦ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσιν»[1], κατ' αὔξησιν αὐτὸ εἰπὼν ὥστε κἂν τούτῳ φανῆναι τῆς χάριτος τὸ πλέον παρὰ τὸν νόμον· ἐκεῖ μὲν γὰρ πρὸς τὴν χρείαν ἐγίνετο μόνον, ἐνταῦθα δὲ καὶ τῶν ἀλλοτρίων πολλοὶ οἱ θεραπευόμενοι δι' ἡμῶν, κἂν ὁποιαδήποτε πάθη κατέχειν αὐτοὺς συμβαίνῃ. Τοσαύτη παρ' ἡμῖν ἡ τῶν θαυμάτων περιουσία. Ἀνίστανται δὲ καὶ νεκροί, καὶ τιμωρούμεθα δέ τινας πολλάκις ἂν δέῃ, ἐπιτιμήσεσι μόναις τυφλοὺς ἐργαζόμενοι, θανάτους ἐπάγοντες τοῖς κακογνώμοσιν. Ἀντιπαραθεὶς οὖν τὴν διαφορὰν καὶ δείξας τὴν ὑπεροχὴν τῷ ποικίλῳ καὶ πολυτρόπῳ, ἐπήγαγε τὸ μεῖζον ὃ οὐκέτι τοῖς ἐν νόμῳ προσῆν· «καὶ Πνεύματος Ἁγίου μερισμοῖς»· τὸ γὰρ Πνεύματος ἕκαστον τῶν πιστευόντων μετέχειν ἴδιον ἦν τῶν ἐν τῇ χάριτι. Καὶ καλῶς ἐπὶ πᾶσιν ἐπήγαγε τό «κατὰ τὴν αὐτοῦ θέλησιν», τοῦτ' ἔστι τοῦ Θεοῦ βουληθέντος ἅπαξ καὶ δοκιμάσαντος πολλῇ χρήσασθαι περὶ ἡμᾶς τῇ φιλοτιμίᾳ, ὥστε καὶ ἀμετάθετον εἶναι τὴν περὶ ἡμᾶς χάριν αὐτοῦ, μηδεμίαν ἅπαξ τοῖς προτέροις ὁμοίως ὑφορωμένους τῶν ἅπαξ δοθέντων μεταβολήν.

## Ἑβρ. 2,9-10

**204** Γελοιότατον δή τι πάσχουσιν ἐνταῦθα τὸ χωρὶς Θεοῦ ἐναλλάττοντες καὶ ποιοῦντες χάριτι Θεοῦ, οὐ προσέχοντες τῇ ἀκολουθίᾳ τῆς Γραφῆς, ἀλλ' ἀπὸ τοῦ μὴ συνιέναι ὅτι ποτὲ ἔφη τὸ χωρὶς Θεοῦ, ἀδιαφόρως ἐξαλείφοντες μὲν ἐκεῖνο, τιθέντες δὲ τὸ δοκοῦν αὐτοῖς εὔκολον εἶναι πρὸς κατανόησιν. Τί γὰρ ἐνταῦθα προέκειτο τῷ Παύλῳ, ἵνα ἐπαγάγῃ τό «χάριτι Θεοῦ»; Τίς δὲ αὐτὸν ἦγεν πρὸς τοῦτο ἀκολουθία; οὐ γὰρ ἔθος αὐτῷ «χάριτι Θεοῦ» τιθέναι ἁπλῶς, ἀλλὰ πάντως ἀπό τινος ἀκολουθίας λόγου· ἢ γὰρ τὸ καθ' ἑαυτὸν λέγων προστίθησι τοῦτο, ὡς τό «χάριτι Θεοῦ εἰμι ὅ εἰμι»[2], ‹ἢ› ὅταν πρόκειται αὐτῷ τὴν περὶ τοὺς ἀνθρώπους λέγειν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ ὅτι ἅπαντα πεποίηκεν οὐχ ἡμῶν ὄντων τοῦ τυχεῖν ἀξίων, οἷόν ἐστι τό «τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι»[1], ᾧ ἐπάγει· «καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον· οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται»[2], σαφῶς διὰ τούτων παριστῶν, ὅτι περὶ τῆς χάριτος διαλέγεται τοῦ Θεοῦ, ἣν περὶ πάντας ἔτυχε τοὺς ἀνθρώπους ἐπιδειξάμενος. Ἐνταῦθα δὲ τὸ προκείμενον αὐτῷ δηλονότι περὶ τοῦ Χριστοῦ διαλέγεται, οἷοστίς ἐστιν καὶ τίνα τὴν πρὸς τοὺς Ἀγγέλους ἔχων διαφοράν, ἀφ' ὧν ἐξηνέχθη εἰς τὸ εἰπεῖν, κατὰ τί δὲ αὐτῶν ἠλαττῶσθαι δοκεῖ καὶ ὅτι διὰ τὸν θάνατον. Τί οὖν ἔδει ἐνταῦθα τοῦ «χάριτιΘεοῦ»; Οὐ γὰρ πρόκειται αὐτῷ τὴν περὶ ἡμᾶς ἀγαθότητα λέγειν αὐτοῦ.

[957] Τοῦτο δὲ μᾶλλον δείκνυσιν ἡ τῶν ἑξῆς ἀκολουθία· εἰπὼν γὰρ ὅτι «χωρὶς Θεοῦ ἐγεύσατο τοῦ θανάτου»[3], οὐδὲν πρὸς τοῦτο παραβλαβείσης τῆς θεότητος, καὶ διὰ τοῦτο ἀπὸ τῆς οἰκείας φύσεως τήν «κατὰ βραχύ» τοῦτο ἐλάττωσιν ἐδέξατο, ὥστε φαίνεσθαι ἐντεῦθεν αὐτὸν καὶ τῆς τιμῆς μετέχοντα διὰ τὴν πρὸς ἕτερον συνάφειαν. Ἐπειδήπερ ἀκόλουθον ἦν τοὺς ταῦτα ἀκούοντας περιττὴν ἐν τῷ τοῦ πάθους καιρῷ νομίζειν εἶναι τοῦ Θεοῦ λόγου τὴν ἐνοίκησιν, οὐδὲν τοῖς προκειμένοις συμβαλλομένην εἴπερ «δὴ χωρίς» ἐκείνου τῆς πείρας ἐγεύσατο τοῦ θανάτου, ἐπάγει· «ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι»[4]. Οὐκ ἀσυντελὴς δὲ ἦν οὐδὲ ἡ θεότης, φησίν· «ἔπρεπε γάρ» τὰ οἰκεῖα καὶ ἅπερ ἦν αὐτῇ πρέποντα· τὸ γάρ τοι τοῦ πάθους οὐδαμῶς αὐτῇ πρέπον ἦν. Τοῦτο τό «ἔπρεπε» σαφῶς τό «χωρὶς Θεοῦ» συνέστησεν· ὡς γὰρ ἐκείνου οὐ πρέποντος τὸ πρέπον αὐτός φησιν, δεικνὺς ὁμοῦ καὶ ἅπερ ἔπραττε τότε, τίνα δὲ ταῦτα ἦν. «Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα»· δηλονότι τῷ Θεῷ Λόγῳ λέγων, ἐπειδήπερ πολλοῖς τῆς υἱότητος μετέδωκεν καὶ εἰς τὴν δόξαν ἤγαγεν ταύτην, τὸν τῆς ἁπάντων «σωτηρίας ἀρχηγόν», τὸν Κύριον ἡμῶν καὶ Σωτῆρα Ἰησοῦν τὸν Χριστόν, τὸν παρ' αὐτοῦ **205** ληφθέντα ἄνθρωπον διὰ τῶν παθημάτων τέλειον ἀποφῆναι, ὥστε φαίνεσθαι καὶ τούτου τὴν φύσιν κἀκείνου τὴν χάριν.

1. Ἑβρ. 2,4. 2. Α' Κορ. 15,10.



1. Ἐφ. 2,8. 2. Ἔνθ' ἀν. 3. Ἑβρ. 2,9. 4. Ἑβρ. 2,10.

Ἑβρ. 3,12-14

Οὐδὲ γὰρ νῦν, φησί, συμβουλεύειν προσῆκεν ὑμῖν, ὅπως ἂν ἀποστάντες τῶν χειρόνων ἐπὶ τὸ κρεῖττον ῥέψητε διὰ τῆς ἐπὶ τὸν Χριστὸν πίστεως· πρὸς γὰρ ἤδη πεπιστευκότας ὁ λόγος μοι γίνεται. Ὥστε τὰ αὐτὰ παραινεῖν ὑμῖν προσῆκεν, ὅπως ἂν ἐπιμείνητε τοῖς δόξασιν ἅπαξ. Τοῦτο οὖν λέγει, ὅτι οἱ πιστεύσαντες καὶ τοῦ πνεύματος μετειληφότες «μέτοχοι τῆς ὑποστάσεως τοῦ Χριστοῦ γεγόναμεν»[1], ὥσπερ τινὰ φυσικὴν τὴν πρὸς αὐτὸν κοινωνίαν δεξάμενοι. Λείπει δὴ λοιπὸν τὸ τὴν ἀρχὴν ταύτην ἐν ἀκεραίῳ διαφυλάξαι γνώμῃ.

Ἑβρ. 3,16-18

Βούλεται δεῖξαι ὅτι πάντες οἱ διὰ Μωυσέως ἐξελθόντες ἀπώλοντο δι' ἀπιστίαν, ὥστε ἐκ παραλλήλου μειζόνως φοβῆσαι τούτους πρὸς οὓς ἐποιεῖτο τὸν λόγον. ‹Οἱ δὲ τούτοις ἀντιλέγοντες προσεῖχον› οὔτε τῇ ἀκολουθίᾳ τῶν ἑξῆς, τοῦ «τίσιν δὲ προσώχθισεν; καὶ τίσιν δὲ ὤμοσεν;»[2] ἀναγινωσκομένων μὲν κατ' ἐρώτησιν, τὴν αὐτὴν δὲ ἀπαιτούντων ἀνταπόδοσιν· οὔτε ἐκείνῳ ὅτι «τίνες δὲ ἀκούσαντες παρεπίκραναν;»[3]. Τότε λέγεσθαι κατ' αὐτὴν ἠδύναντο τὴν διάνοιαν, εἴπερ δὴ ὀλίγοι ἀπὸ πολλῶν τοῦτο ὑπομεμενηκότες ἦσαν. Λέγομεν γὰρ ἐπὶ τῶν πραττομένων ὅτι τίνες ἐποίησαν; **[960]** Τὸ δὲ μέρος ἀπὸ πλήθους ἀποτεμνόμενοι, ὅταν ἐλάττονας εἶναι τοὺς πεποιηκότας συμβαίνῃ τῶν οὐ πεποιηκότων. Ἐνταῦθα δὲ δύο μόνοι, Ἰησοῦς καὶ Χαλέβ· ὥστε οὐδὲ ἀκολουθίαν εἶχέν τινα τὸ λέγειν «τίνας» εἶναι τοὺς παραπικραίνοντας, δύο μόνων ἀπὸ τοσούτου πλήθους ὄντων... οὐδὲν λυμαίνεσθαι τῇ ἀποφάσει τῶν δύο νομίσας τὸν ἀριθμόν.

Ἑβρ. 4,1-2

Προσῆκεν φοβεῖσθαι, φησίν, ὅπως ἂν μὴ αὐτοὶ τῆς εἰς τὴν κατάπαυσιν εἰσόδου τὴν ἐπαγγελίαν δεξάμενοι ὑστερήσωμεν μο-

1. Ἑβρ. 3,14. 2. Ἑβρ. 3,17. 3. Ἑβρ. 3,16.



χθηρίᾳ γνώμης[1]· μηδὲ γάρ τις οἰέσθω ἀρκεῖν αὐτῷ τὴν ἐπαγγελίαν τῶν μελλόντων, ὥσπερ οὐδὲ ἐκείνοις· οὐ γὰρ ἦσαν κατὰ τὴν πίστιν τοῖς ἐπαγγελθεῖσι συνημμένοι. Ὅθεν οὕτως ἀναγνωστέον· «μὴ συγκεκερασμένους τῇ πίστει τοῖς ἀκουσθεῖσιν»[2], ἵνα εἴπῃ, ταῖς πρὸς αὐτοὺς γεγενημέναις ἐπαγγελίαις τοῦ Θεοῦ διὰ Μωυσέως.

Ἑβρ. 4,4-7

**206** Ἀληθινῆς «καταπαύσεως» τοῦτο τὸ ἔργον, τὸ μὴ πάλιν ἐπὶ τὰ παλαιὰ ἀνατρέχειν μεταβολὴν ὑπομένοντας καὶ μετάθεσιν. Ὥσπερ γὰρ ὁ Θεὸς λέγεται «πεπαῦσθαι»[3] τοῦ ποιεῖν τὸν κόσμον, ἅπαξ αὐτοῦ τῇ κατασκευῇ τέλος δεδωκώς, οὕτω προσῆκεν καὶ τόν «εἰς κατάπαυσιν»[4] εἰσιόντα μὴ παλινδρομεῖν ἐπὶ τὰ παλαιά, πόνους ὑφορώμενον τοὺς τῆς ἀρετῆς ‹ἐπὶ› παράβασιν νομίμων· τούτοις γὰρ ἀκολουθεῖν ἀνάγκη τὴν μεταβολὴν καὶ τὴν ἀπὸ τῆς καταστάσεως μετάστασιν.

Τὸ δέ «σήμερον», φησίν, οὔτε ἀόριστόν ἐστιν, οὔτε μὴν ἐπὶ τοῦ ἐκτὸς ἡμέρας διαστήματος λέγεσθαι δύναται ὡς ἂν ἐφ' ἑκάστης ἡμέρας τοῦ «σήμερον» ἁρμόττοντος. Τοῦτο δὲ οὐ τῆς ἀποστολικῆς σαφηνείας ἕνεκεν μόνον ἐπισημήνασθαι δίκαιον ᾠήθην, ἀλλὰ καὶ τῶν βουλομένων ἐπὶ τῆς γεννήσεως τῆς τοῦ Μονογενοῦς θεότητος λαμβάνειν τό «ἐγὼ σήμερον γεγέννηκά σε»[5], οἵ τό «σήμερον» ἀόριστον εἶναι ἀποφαίνονται, οὐδὲ τοῦτο ἐννοοῦντες ὅτι τό «σήμερον» λέγεσθαι οὐκ ἂν δύναιτο μὴ οὔσης ἡμέρας. Ὅτι γὰρ οὐδὲ ἀόριστον λέγοιτο ἂν τό «σήμερον», σαφῶς ὁ Ἀπόστολος ἐδήλωσεν εἰπών· «πάλιν τινὰ ὁρίζει ἡμέραν ἐν Δαβὶδ λέγων»[6], ᾗ δὲ καὶ ἑτέρωθι· «παρακαλεῖτε ἑαυτούς», ἔφη, «καθ' ἑκάστην ἡμέραν ἄχρις οὗ τὸ σήμερον καλεῖται»[7]. Πρῶτον μὲν ἔδειξεν ὅτι οὐκ ἔξω τῶν ἡμερῶν τό «σήμερον» λέγοιτο, τῷ εἰπεῖν «καθ' ἑκάστην ἡμέραν», καὶ οὕτως ἐπαγαγεῖν τό «ἄχρις οὗ τὸ σήμερον καλεῖται». Ἔπειτα οὐδὲ οὕτω φαίνεται περὶ τοῦ «σήμερον» ὡς ἂν

1. Πρβλ. Ἑβρ. 4,1. 2. Ἑβρ. 4,2. 3. Γεν. 2,2. 4. Ψαλ. 94,11. Ἑβρ. 4,1,3. 5. Ψαλ. 2,3. 6. Ἑβρ. 4,7. 7. Ἑβρ. 3,13.

ἀορίστου διαλεγόμενος, καὶ δυναμένου μὲν τοῖς παρεληλυθόσιν, δυναμένου δὲ καὶ τοῖς μέλλουσιν ἁρμόττειν. Τί γάρ φησιν; «Καθ' ἑκάστην ἡμέραν τὸ σήμερον» λέγεσθαι πρὸς ὑμᾶς νομίσαντες, οὕτως ἐπιμελεῖσθε τοῦ μένειν ἐπὶ τῆς πίστεως· ὡς γὰρ τοῦ «σήμερον» τὴν παροῦσαν σημαίνοντος ἡμέραν, οὕτως αὐτοῖς συνεβούλευσεν, καταχρησάμενος τῇ σημασίᾳ μᾶλλον πρὸς τὸ τῆς παραινέσεως ὠφέλιμον.

Ἑβρ. 6,18

**[961]** Τό «διὰ δύο ἀμεταθέτων»[1], τῷ τε Θεὸν εἶναι τὸν ἐπαγγειλάμενον οὐδαμῶς οἷόν τε ψεύσασθαι, καὶ τῷ μεθ' ὅρκου ποιήσασθαι τὴν ἐπαγγελίαν.

Ἑβρ. 6,20

**207** Προσθεὶς ὅτι «αἰώνιος» ἡμῖν γέγονεν «Ἀρχιερεύς»[2], ὁ Χριστὸς τῷ πάντας τοὺς καθ' ἑκάστην γενεὰν πιστεύοντας δι' ἑαυτοῦ προσάγειν τῷ Θεῷ ἐπὶ τῇ τῆς ἀναστάσεως ἐλπίδι.

Ἑβρ. 7,3

Διηγεῖτο ὕστερον ὅπως ὁ ναὸς κατεσκεύαστο, καὶ λέγει δύο εἶναι τὰς σκηνάς, ἀλλ' εἰς μὲν τὴν πρώτην διὰ παντὸς τοὺς ἱερεῖς εἰσιόντας τὰ νενομισμένα ἐπιτελεῖν, εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ τὸν ἀρχιερέα μόνον[3]. Καὶ δὴ τὸ ἀπὸ τούτων σημαινόμενον διδάσκειν βουλόμενος ἐπάγει· «τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ Ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν Ἁγίων ὁδόν»[4]. Ὥσπερ τοίνυν οὐχ ἡ τοῦ τόπου φύσις ἦν ἄβατος, ἐφ' οὗ δὴ τὸν ἐνδότερον οἶκον κατεσκευάσθαι συνέβαινεν, ἀλλ' ἡ κατασκευὴ καὶ τὸ νόμιμον καὶ ἡ τοῦ τόπου ἀφιέρωσις ἄβατον ἐποίει τὸν τόπον, ὅμως σύμβολον ἔφη εἶναι τοῦτο τῶν οὐρανῶν, οὕτω κἀνταῦθα βουλόμενος τὸν Χριστόν «ἀρχιερέα» δεῖξαι «κατὰ τὴν τάξιν Μελ-

1. Ἑβρ. 6,18. 2. Ἑβρ. 6,20. 3. Πρβλ. Ἑβρ. 9,1-7. 4. Ἑβρ. 9,8.



χισεδέκ»[1], λέγει τὰ κατ' ἐκεῖνον οὐ τὴν φύσιν ἐξηγούμενος, ἀλλὰ τὴν κατ' αὐτὸν διήγησιν ἀπὸ τῆς θείας τιθεὶς Γραφῆς καὶ ἀπ' ἐκείνης ἐμφαίνων τὸ ὅμοιον.

«Ἀπάτορα» τοίνυν καί «ἀμήτορα» καλεῖ, ὡς τῆς θείας Γραφῆς γονέας αὐτοῦ μὴ διηγουμένης· ὅθεν ἐπήγαγε τό «ἀγενεαλόγητος», δεικνὺς ὅτι οὐ φύσιν λέγει τοῦ ἀνδρὸς ἀλλὰ τῆς θείας Γραφῆς διήγησιν. Εἶτα ἐπισυνάπτει· «μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων»[2], οὐχ ἐν τῇ φύσει, ἀλλ' ἐν τῇ θείᾳ Γραφῇ. Καὶ ἐπειδὴ ταῦτα δυνατὸν ἦν καὶ ἐπ' ἄλλου λέγεσθαι — ἐμνημόνευσε γὰρ ἡ θεία Γραφὴ πολλῶν οὔτε τοὺς γονέας εἰποῦσα οὔτε τὴν γενεαλογίαν ἐκθεμένη, καὶ μάλιστα ὅσους ἔξω τοῦ Ἰσραηλιτικοῦ γένους γεγονότας μεμαθήκαμεν — καλῶς ἐπήγαγε τό «ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές»[3]· οὐκέτι γὰρ καὶ τοῦτο μετὰ τῶν λοιπῶν ἦν ἐπ' ἄλλου. Ἐμφαίνει δὲ ἀπὸ τῆς κατὰ τὴν Γραφὴν διηγήσεως, ὅπως αὐτῷ καὶ τὰ λοιπὰ προσῆν ἂν δὴ καὶ τοῦτο. Καὶ γὰρ ὁ Χριστὸς ἦν μέν «ἀπάτωρ» γεννήσει τῆς ἀνθρωπείας φύσεως, «ἀμήτωρ» δὲ τῇ γεννήσει τῆς θείας ὑπάρξεως, ἀλλὰ μὴν καί «ἀγενεαλόγητος»· τίς γὰρ ἂν γενεαλογία τοῦ ἐκ Πατρὸς ὄντος μόνον; Ἔτι δέ «οὔτε ἀρχὴν **208** ἡμερῶν ἔχει οὔτε ζωῆς τέλος», καὶ τοῦτο δῆλον, ἀλλ' ἐνταῦθα μὲν ἐπὶ τῶν πραγμάτων, ἐκεῖ δὲ ἐπί τῆς διηγήσεως. Τὸ μέν «ἱερέα μένειν εἰς τὸ διηνεκές» ἀπὸ τῆς θείας ἔλαβε Γραφῆς τῷ εἰπεῖν· «σύ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ»[4], ὡς ἂν κἀκείνου διηνεκῶς ἱερατεύοντος. Διηνεκῆ δὲ αὐτὸν ἱερέα ἐκάλεσεν ὡς **[964]** ἂν οὐ παραπέμφαντα τὴν ἱερατείαν εἰς διαδόχους, ὅπερ ἐν νόμῳ συνέβαινε γίνεσθαι. Ὅθεν καὶ εἶπεν· «ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ»[5], καίτοι γε τὸ ἀκόλουθον ἦν τοῦτον ἀφωμοιῶσθαι λέγειν ἐκείνῳ — οὐ γὰρ ὁ πρῶτος ἀφομοιοῦται τῷ δευτέρῳ — ἀλλ' ἐπειδὴ παρὰ τούτῳ μέν ἐστιν ἡ ἀλήθεια τῶν πραγμάτων, ἐκείνῳ δὲ πρόσεστιν οὐδὲν τοιοῦτον, τῷ δὲ εἴδει τῆς διηγήσεως καλῶς ἀφωμοιῶσθαι ἐκεῖνον ἔφη, ὡς ἂν τῆς θείας Γραφῆς ἐπὶ τῆς διηγήσεως ὁμοίωμα τοῦ ἐσομένου δεῖξαι βουληθείσης ἡμῖν.

1. Ἑβρ. 6,20. 7,11,17. Ψαλ. 109,4. 2. Ἑβρ. 7,3. 3. Ἔνθ' ἀν. 4. Ἑβρ. 5,6. 7,17,21. Ψαλ. 109,4. 5. Ἑβρ. 7,3.

Ἑβρ. 7,20-22

Δείκνυται, φησί, τούτου πρὸς ἐκεῖνον τὸ διάφορον ἀπὸ τοῦ μεθ' ὅρκου λαβεῖν τὴν ἱερατείαν[1]· οἱ μὲν γὰρ ἄνευ ὅρκων ἐγίνοντο διὰ τὸ δεῖν αὐτοὺς καὶ παύεσθαί ποτε τῆς ἱερατείας, ουτοσὶ δὲ μεθ' ὅρκων, ἐπειδὴ μένειν ἔμελλεν ἐπὶ τῆς ἀξίας. Οὕτω μείζονα πολλῷ τῶν ἐν νόμῳ τὴν ἀξίαν ἐδέξατο, ἐπειδὴ μείζονα καὶ παρέχειν τοῖς προσιοῦσιν ἔμελλεν[2]. Τὸ γάρ «ἔγγυος»[3] οὕτως λέγει ὡς ἂν τῷ καταστῆναι ἐγγυωμένου ἡμῖν τὸ κέρδος, ἐπεὶ καὶ οὕτως ἔχει· τὸ γὰρ ἀναστῆναι πρῶτος, καθὰ καί «ἀρχιερέα» αὐτὸν καλεῖ, ἐγγυᾶται ἡμῖν τὴν τῆς ἀναστάσεως ὁμοιότητα.

Ἑβρ. 9,1-2

Ἄρχεται ἐντεῦθεν λέγειν, ὅπως τὰ ἐν νόμῳ σύμβολα καὶ τύποι τῶν ἐν τῇ χάριτι, καὶ ὅπως ἐν ἐκείνοις ταῦτα προθεωρούμενα διϊδεῖν δυνατόν, ὁμοῦ τῇ παραθέσει καὶ τὴν ὑπεροχὴν τούτων δεικνύς, ὅση τίς ἐστιν. Ἐν ἀφηγήσει δὲ τῆς διδασκαλίας ποιεῖται τὴν καταρχήν. Λέγει οὖν ὅτι καὶ ἡ πρώτη Διαθήκη εἶχεν ὅρους καὶ προστάγματα λειτουργίας τῆς Θεῷ ἀποδίδοσθαι ὀφειλούσης· «δικαιώματα γὰρ λατρείας»[4] τὰ περὶ τούτων λέγει προστάγματα.

**209** «Τό τε ἅγιον κοσμικόν»[5]. «Ἅγιον» ἐνταῦθα καλεῖ τὸν ναὸν εἰκότως ἐν ᾧ τὴν λειτουργίαν ἀποδίδοσθαι τῷ Θεῷ συνέβαινεν, εἴτε καὶ τὴν σκηνήν, ἐπειδὴ ταύτην ἐν τάξει τοῦ ναοῦ πρότερον εἶχον· ὁμοίως γὰρ ἐκείνην τε ναὸν ἐκάλουν ὡς ἂν ἐν αὐτῇ τοῦ Θεοῦ τυγχάνοντος, καὶ τὸν παρὰ τοῦ Σολομῶντος ὕστερον. Καὶ τοῦτο μαθεῖν ἀπὸ τῆς πρώτης τῶν Βασιλειῶν ἔνεστι σαφῶς λεγούσης· «καὶ Σαμουὴλ ἐκάθευδεν ἐν τῷ ναῷ τοῦ Κυρίου οὗ ἦν ἡ κιβωτὸς τοῦ Θεοῦ»[6], μήπω τοῦ ναοῦ ὑπὸ τοῦ Σολομῶντος οἰκοδομηθέντος. Ὥσπερ δὲ σύμβολον τοῦ κόσμου κατασκευάσαι κατά τινα τύπον τὴν σκηνὴν τῷ Μωυσεῖ κελεύων, ὁ Θεὸς προσέταξεν αὐτῷ περίβολον ποιῆσαι ἀπὸ τῶν καταπετασμάτων μέσῳ διει-

1. Πρβλ. Ἑβρ. 7,20. 2. Πρβλ. Ἑβρ. 7,21. 3. Ἑβρ. 7,22. 4. Ἑβρ. 9,1. 5. Ἔνθ' ἀν. 6. Α' Βασ. 3,3.



λημμένον ἑτέρῳ· οὕτω δὲ καὶ ὁ ναὸς κατὰ τὸν αὐτὸν ὕστερον ἐγένετο τύπον[1].

Ἑβρ. 9,28

Νῦν, φησίν, ὀφθείς, ὅτε τὴν ἁμαρτίαν κρατεῖν συνέβαινεν, ἀναγκαίως τὸν διὰ τὴν ἁμαρτίαν κρατοῦντα θάνατον ἐδέξατο, τότε δὲ τῆς ἁμαρτίας ὡς εἰκὸς λελυμένης, ἀνάγκη καὶ αὐτὸν ἀπαθῶς ὀφθῆναι· τὸ γάρ «χωρὶς ἁμαρτίας»[2] τοῦτο λέγει ὅτι μὴ κρατούσης ἔτι τῆς ἁμαρτίας, οὕτω καὶ αὐτὸς ἔξω παντὸς ἀνθρωπίνου πάθους ὀφθήσεται τότε.

Ἑβρ. 10,5

**[965]** Ταῦτα εἴρηται μὲν τοῖς ἐν Βαβυλῶνι πρὸς τὸν Θεὸν βουλομένοις εἰπεῖν ὅτι θυσίας με οὐκ ἀπήτησας ἀλλὰ μόνον τὸ ὑπακούειν σου καὶ τὸ θέλημά σου ποιεῖν· καὶ εὐθύ μοι τὰ τῆς ἐπανόδου λοιπὸν ἀναμφίβολα ἦν. Μεταλλάξας οὖν αὐτὴν ὡς ἐκ προσώπου τοῦ Χριστοῦ ταύτῃ φησίν, ἀντὶ τοῦ ὠτία, «σῶμα», εἰπών, «κατηρτίσω μοι»[3].

Ἑβρ. 10,26-27

Ἀνάγκη τοὺς ἐνταῦθα πρὸς τὰ χείρω μεταστάντας ἀπὸ τῶν κρειττόνων, ἀναστάντας τῇ κολάσει παραδοθῆναι λοιπόν, οὐκ ἐπιδεχομένους τότε μετάνοιαν[4]. Οὐδὲ γὰρ ἐπὶ τοῦ παρόντος βίου τὴν μετάνοιαν ἀναιρεῖ, ἀλλὰ τῷ μὴ εἶναι τότε συγχώρησιν λαβεῖν τὸν ἐπὶ τῷ πταίειν ἐνταῦθα μεμενηκότα καὶ μηδεμίαν ἐπὶ τὸ πταίειν δεξάμενον αἴσθησιν, ἀλογίᾳ τινὶ μετὰ πολλῆς ἡδονῆς ἅπαν, ἐπιτελοῦντα ἁμάρτημα[5].

**210** Τὸ περὶ τῆς πίστεως ζητούμενον παρὰ Ἰουδαίοις μάλιστα εἰδὼς ἀπό τινος ἀκολουθίας, πολλαῖς ταῖς περὶ αὐτοῦ κέχρηται ἀποδείξεσιν. Ἐκεῖνοι μὲν γὰρ προεβάλοντο τὸν νόμον καὶ τὴν ἐκ

1. Πρβλ. Ἑβρ. 9,2. Ἐξ. 26,33. 2. Ἑβρ. 9,28. 3. Ἑβρ. 10,5. 4. Πρβλ. Ἑβρ. 10,26. 5. Πρβλ. Ἑβρ. 10,27.

τῶν ἔργων αὐτοῦ δικαίωσιν, οὗτοι δὲ τὴν πίστιν[1], τοῦτο λέγοντες ὅτι κἂν μυρίοις τις ἐνέχηται κακοῖς, πιστεύσας μόνον τῷ Χριστῷ σύντομον ἁπάντων δέχεται τὴν ἀπαλλαγήν, τῆς παρ' αὐτοῦ δικαιώσεως ἀξιούμενος. Ὅθεν ὁρισάμενος αὐτήν, ὁμοῦ μὲν ὥστε οἰκειῶσαι τοῖς προειρημένοις, ὁμοῦ δὲ ὥστε καὶ μᾶλλον αὐτὴν δυνηθῆναι δεῖξαι παρὰ πᾶσι φαινομένην τοῖς ἐναρέτοις καὶ παλαιοῖς ἀνδράσιν, ἐπάγει· «ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι»[2].

Ἑβρ. 11,19

Ἀκολούθως ἔτυχε τῇ ἑαυτοῦ πίστει· τῇ γὰρ Ἀναστάσει πιστεύσας διὰ συμβόλων τινῶν ἀποθανόντα αὐτὸν ἐκομίσατο. Τὸ γὰρ ἐν πολλῇ τοῦ θανάτου προσδοκίᾳ γενόμενον μηδὲν παθεῖν, τοῦ ἀληθῶς ἀναστησομένου σύμβολον ἦν[3], ὅσον «τοῦ θανάτου πρὸς βραχὺ γευσάμενος»[4], ἀνέστη μηδὲν ὑπὸ τοῦ θανάτου παθών. Τὸ γοῦν «ἐν παραβολῇ» ἀντὶ τοῦ ἐν συμβόλοις.

Ἑβρ. 12,1

Οὐχ ἁπλῶς εἶπεν ὅτι εἷς πᾶσι τῆς ἀνταποδόσεως καιρός — οὐ γὰρ τοῦτο ἦν αὐτῷ προκείμενον — ἀλλ' ἵνα δείξῃ ὅτι καὶ τοσαῦτα μὲν πεποιηκότες, τοσαῦτα δὲ καὶ πεπονθότες διὰ πίστεως, ὅμως ἔτι περιμένουσι τῶν ἐπαγγελθέντων τὴν ἀπόδοσιν, οὐ δυσχεραίνοντες, εἴ γε μεθ' ἡμῶν κομιοῦνται τῶν ὑστέρων, ὅπερ τὴν ὑπομονὴν αὐτῶν ἐδείκνυ μείζονα, εἴπερ δὴ καὶ μετὰ θάνατον ἔτι περιμένουσι τοὺς ἀγωνίσασθαι ὁμοίως αὐτοῖς ὀφείλοντας, ὥστε μετ' ἐκείνων τυχεῖν τῆς τῶν καλῶν ἀπολαύσεως. «Μαρτύρων»[5] δὲ ἐνταῦθα οὐ τῶν πεπονθότων λέγει, ἀλλὰ τῶν μαρτυρούντων πρὸς τὴν πίστιν.

Ἑβρ. 12,12-13

**[968]** Ποῦ εἰσιν οἱ λέγοντες τὸν Ἀπόστολον ἐν ταύτῃ τῇ ἐπιστολῇ ἀναιρεῖν τὴν μετάνοιαν διὰ τοῦ λέγειν· «ἀδύνατον γὰρ τοὺς

---

**1.** Πρβλ. Ἑβρ. 11,1. **2.** Ἑβρ. 11,2. **3.** Πρβλ. Ἑβρ. 11,19. **4.** Ἑβρ. 2,9. **5.** Ἑβρ. 12,1.



φωτισθέντας» καὶ τὰ ἑξῆς «πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν;»[1], πῶς ἄρα ταῦτα νοοῦσιν; «πῶς τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθωθῆναι κελεύει;»[2], χωλοῦ **211** δὲ ἴασιν ποίαν βούλεται γενέσθαι ὁ μετάνοιαν τῶν ἡμαρτηκότων οὐ προσιέμενος; Ὅτι γὰρ ταῦτα πιστοῖς γράφει, δῆλον ἐξ ὧν φησι πρὸς αὐτούς· «ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων»[3].

Ἑβρ. 12,17

Οὐ τὴν μετάνοιαν ἀνελεῖν διὰ τούτων βούλεται[4], ἀλλὰ διδάξαι ὡς οὐκ ἔνεστιν ἐν καιρῷ τὴν προσήκουσαν διόρθωσιν ‹μὴ› ἐπιδειξαμένους ὕστερον αὐτὴν ἀνακτᾶσθαι, ὅταν ὁ τῆς ἀνταποδόσεως καιρὸς καταλλήλως ἐπάγεσθαι τῷ ἑκάστου τρόπῳ μέλλῃ· οὐ γὰρ ἐναντία λέγειν ἐσπούδακεν ἑαυτῷ, καὶ ταῦτα οὕτως ἐκ τοῦ σύνεγγυς. Γνοίη δ' ἄν τις ἐκ τοῦ παραδείγματος ὅ φησιν. Πρῶτον μὲν γὰρ ἐμνημόνευσε τοῦ Ἠσαῦ[5], τότε μὲν ἀθυμήσαντος ὅτε τῆς εὐλογίας οὐκ ἔτυχεν, μείναντος δὲ ἐπὶ τῆς τοῦ τρόπου κακίας ὁμοίως καὶ μετὰ τοῦτο. Ἔπειτα οὐχὶ συγχωρήσεως ἁμαρτημάτων μετανοήσας οὐκ ἔτυχεν ἐκεῖνος· οὐ γὰρ τοῦτο ᾔτει τότε, ἀλλ' εὐλογίαν ἣν κατὰ τὴν ἀξίαν τοῦ τρόπου τῷ ἀδελφῷ δοθεῖσαν ἀφαιρεθῆναι αὖθις οὐδαμῶς οἷόν τε ἦν καὶ δοθῆναι τούτῳ πάλιν. Ἔστι μέντοι καὶ τοῦτο εὑρεῖν, ὡς οὐκ ἀνόνητα αὐτῷ πάντη τὰ δάκρυα ἐγένετο. Ἀμέλει φαίνεται ὁ πατὴρ μετὰ τοῦτο παθὼν ἐπ' αὐτῷ, καί τινας εὐλογίας αὐτῷ δεδωκώς. Οὕτως οὐ τὴν μετάνοιαν ἀνελεῖν διὰ τούτων βούλεται[6].

Ἑβρ. 12,26

Καλῶς ἀπὸ τῆς τοῦ Προφήτου φωνῆς τῶν τε νῦν τὴν μεταβολὴν καὶ τῶν ὑστέρων τὸ βέβαιον συνίστησιν· τὸ μὲν γὰρ «σείειν»[7] ἐπαγγείλασθαι τὴν μετάθεσιν αὐτῶν δηλοῖ πάντως ὡς ἐσο-

---

**1.** Ἑβρ. 6,4-6. **2.** Ἑβρ. 12,12-13. **3.** Ἑβρ. 10,32. **4.** Πρβλ. Ἑβρ. 12,17. **5.** Πρβλ. Γεν. 27,34,41. Ἑβρ. 12,16. **6.** Πρβλ. Γεν. 27,39. **7.** Ἀγγ. 2,6. Ἑβρ. 12,26.

μένην, τῇ δὲ τοῦ «ἅπαξ» προσθήκῃ τῶν μετὰ τοῦτο δηλοῖ τὸ ἀμετάθετον.

### Ἑβρ. 13,7

«Ἡγουμένους»[1] τοὺς παρ' αὐτοῖς καταγγείλαντας τὸν λόγον τῆς εὐσεβείας καὶ τελειωθέντας ὑπὸ Ἰουδαίων αὐτόθι. Πολλοὶ δὲ ἦσαν, οὐ Στέφανος μόνον καὶ Ἰάκωβος ὁ μαχαίρᾳ ἀναιρεθείς, ἀλλὰ καὶ ὁ τοῦ Κυρίου ἀδελφὸς Ἰάκωβος[2], ἕτεροι δὲ πλεῖστοι σιωπῇ παραδεδομένοι.

### Ἑβρ. 13,16

«Εὐποιΐαν» εἶπεν εἰς ἔπαινον τοῦ γινομένου, «κοινωνίαν»[3] δὲ διὰ τὸ περὶ ὁμοπίστους γίνεσθαι ὡς ἂν δέον κοινωνοὺς ἡγεῖσθαι τοὺς **212** τοιούτους τῶν προσόντων ἡμῖν, οὕτω μετὰ σπουδῆς ταῖς χρείαις αὐτῶν ἀρκεῖν αἱρουμένους.

### Ἑβρ. 13,22

Ἀντὶ τοῦ προσκαρτερήσατε τῇ ἀναγνώσει, ἐνέγκατε τῆς προσοχῆς τὸν πόνον[4].

**1**. Ἑβρ. 13,7. **2**. Πρβλ. Πράξ. 12,2. **3**. Ἑβρ. 13,16. **4**. Πρβλ. Ἑβρ. 13,22.



## Β'*

### Ἑβρ. 7,3

**[1059]** Ἀλλ' οὐχ ἡ θεία φύσις ἐκ Παρθένου γεγέννηται· γεγέννηται δὲ ἐκ τῆς Παρθένου ὁ ἐκ τῆς οὐσίας τῆς Παρθένου συστάς· οὐχ ὁ Θεὸς Λόγος ἐκ τῆς Μαρίας γεγέννηται· γεγέννηται δὲ ἐκ Μαρίας ὁ ἐκ σπέρματος Δαβίδ. Οὐχ ὁ Θεὸς Λόγος ἐκ γυναικὸς γεγέννηται· γεγέννηται δὲ ἐκ γυναικὸς ὁ τῇ τοῦ Ἁγίου Πνεύματος δυνάμει διαπλασθεὶς ἐν αὐτῇ[1]· οὐχ ἐκ μήτρας τέτεκται ὁ ὁμοούσιος τῷ Πατρί. Ἀμήτωρ γὰρ οὗτος κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν[2], ἀλλὰ ὁ ἐν ὑστέροις καιροῖς ἐν τῇ μητρῴᾳ γαστρὶ τῇ τοῦ Ἁγίου Πνεύματος δυνάμει διαπλασθείς, ἅτε καὶ ἀπάτωρ διὰ τοῦτο λεγόμενος.

* Κατὰ τὴν ἔκδοσιν J.-P. Migne, Patrologiae cursus completus, series graeca, τ. 86, Paris 1865, στ. 1059.

**1**. Πρβλ. Λουκ. 1,26-35. **2**. Πρβλ. Ἑβρ. 7,3.

# ΔΟΓΜΑΤΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΑ*

## ΠΕΡΙ ΕΝΑΝΘΡΩΠΗΣΕΩΣ

### Λόγος ζ΄

**293 [972]** Εἰ γὰρ μάθωμεν ὅπως ἡ ἐνοίκησις γίνεται, εἰσόμεθα καὶ τὸν τρόπον καὶ τίς ἡ τοῦ τρόπου διαφορά. Τὴν τοίνυν ἐνοίκησιν οἱ μὲν οὐσίᾳ γεγενῆσθαι **294** ἀπεφήναντο, ἕτεροι δὲ ἐνεργείᾳ. Ἐξεταζέσθω τοίνυν εἴ τι τούτων ἐστὶν ἀληθές. Καὶ πρότερον ἡμῖν ἐκεῖνο ὁμολογείσθω, πότερον πᾶσιν ἐνοικεῖ ἢ μή. Ἀλλ' ὅτι μὲν οὐ πᾶσιν, δῆλον· τοῦτο γὰρ ὥσπερ τι ἐξαίρετον τοῖς ἁγίοις ὁ Θεὸς ὑπισχνεῖται, ἢ ὅλως τούτοις οὓς ἀνακεῖσθαι αὐτῷ ἐθέλοι· ἢ τί ποτε ἄρα ὑπισχνεῖτο λέγων τό «Ἐνοικήσω ἐν Αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοί ἔσονταί μοι λαός»[1], ὥς τι χαριούμενος αὐτοῖς ἐξαίρετον, εἴπερ δὴ τούτου παρέντες κοινῇ μετέχουσιν ἄνθρωποι; οὐκοῦν εἰ μὴ πᾶσιν ἐνοικεῖ (τοῦτο γὰρ δῆλον), οὐ λέγω τοῖς οὖσιν μόνον, ἀλλ' οὐδὲ ἀνθρώποις, ἰδιάζοντά τινα δεῖ εἶναι τὸν λόγον τῆς ἐνοικήσεως καθ' ὃν ἐκείνοις πάρεστιν μόνον οἷς ἂν ἐνοικεῖν λέγεται. Οὐσίᾳ μὲν οὖν λέγειν ἐνοικεῖν τὸν Θεὸν τῶν ἀπρεπεστάτων ἐστίν. Ἢ γὰρ ἀνάγκη τούτοις μόνοις αὐτοῦ τὴν οὐσίαν περιβλέπειν οἷς ἂν ἐνοικεῖν λέγηται, καὶ ἔσται τῶν ἄλλων ἁπάντων ἐκτός, ὅπερ ἄτοπον εἰπεῖν ἐπὶ τῆς ἀπείρου φύσεως τῆς ἁπανταχοῦ παρούσης καὶ οὐδενὶ τόπῳ περιγραφομένης· ἢ λέγοντα ἁπανταχοῦ παρεῖναι τὸν Θεὸν τῷ λόγῳ τῆς οὐσίας, ἅπασιν αὐτοῦ μεταδιδόναι καὶ τῆς ἐνοικήσεως, οὐκέτι μόνον ἀνθρώποις, ἀλλὰ καὶ ἀλόγοις ἤδη καὶ τοῖς ἀψύχοις, εἴπερ οὐσίᾳ τὴν ἐνοίκησιν αὐτὸν ποιεῖσθαι φήσομεν. Ἀμφότερα δὲ ταῦτα ἀπρεπῆ δηλονότι· τό τε γὰρ ἅπασιν ἐνοικεῖν λέγειν τὸν Θε-

---

* Κατὰ τὴν ἔκδοσιν H.B. Swete, Theodori episcopi Mopsuesteni in epistolas B. Pauli commentarii, τ. 2, Cambridge 1882, 1969², σσ. 293-339 (J.-P. Migne, PG 66,972-1013).

1. Λευϊτ. 26,12. Β΄ Κορ. 6,16.



όν, τῶν ἀτόπων ἄντικρυς ὡμολόγηται· καὶ τὸ τὴν οὐσίαν αὐτῷ περιγράφειν, ἀπρεπές. Οὐκοῦν οὐσίᾳ τὴν ἐνοίκησιν λέγειν γίνεσθαι τῶν εὐηθεστάτων ἂν εἴη.

Τὸ δ' αὐτὸ ἄν τις εἴποι καὶ ἐπὶ τῆς ἐνεργείας. Ἢ γὰρ ἀνάγκη πάλιν αὐτῷ τὴν ἐνέργειαν τούτοις περι**[973]**γράφειν μόνοις· καὶ ποῦ στήσεται ἡμῖν ὁ λόγος, ὁ τοῦ πάντων προνοεῖν τὸν Θεὸν καὶ ἅπαντα διοικεῖν καὶ ἐν πᾶσιν αὐτὸν ἐνεργεῖν τὰ προσήκοντα; ἢ πᾶσιν αὐτοῦ τῆς ἐνεργείας μεταδιδόντες -ὅπερ οὖν πρέπον τε καὶ ἀκόλουθον· ἅπαντα γὰρ ὑπ' αὐτοῦ δυναμοῦται πρὸς τὸ συνεστάναι τε ἕκαστον καὶ κατὰ τὴν οἰκείαν φύσιν ἐνεργεῖν πᾶσιν αὐτὸν ἐνοικεῖν ἐροῦμεν.

Οὐκοῦν οὔτε οὐσίᾳ λέγειν οὔτε μὴν ἐνεργείᾳ οἷόν τε ποιεῖσθαι τὸν Θεὸν τὴν ἐνοίκησιν. Τί οὖν ἄρα ὑπολείπεται; τίνι χρησόμεθα λόγῳ ὃς ἐπὶ τούτων ἰδιάζον φανεῖται φυλασσόμενος; δῆλον οὖν ὡς εὐδοκίᾳ λέγειν γίνεσθαι τὴν ἐνοίκησιν προσήκει· εὐδοκία δὲ λέγεται ἡ ἀρίστη καὶ καλλίστη θέλησις τοῦ Θεοῦ ἣν ἂν ποιήσηται ἀρεσθεὶς τοῖς ἀνακεῖσθαι αὐτῷ ἐσπουδακόσιν ἀπὸ τοῦ εὖ καὶ καλὰ δοκεῖν αὐτῷ περὶ αὐτῶν, τούτου συνηθῶς ὑπὸ τῆς Γραφῆς εἰλημμένου τε καὶ κειμένου παρ' αὐτῇ.

**295** Οὕτως γοῦν ὁ μακάριος Δαβὶδ εἶπεν· «Οὐκ ἐν δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκήσει. Εὐδοκεῖ Κύριος ἐν τοῖς φοβουμένοις Αὐτὸν καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος Αὐτοῦ»[1]. Τοῦτο λέγων, ὅτι οὐχ ἑτέροις συμπράττειν δοκιμάζει οὐδὲ ἑτέροις συνεργεῖν ἐθέλει, ἀλλὰ τούτοις (φησίν) τοῖς φοβουμένοις αὐτόν· τούτους ποιεῖται περὶ πολλοῦ, τούτοις συνεργεῖν καὶ ἐπαμύνειν αὐτῷ δοκητόν. Οὕτως τοίνυν καὶ λέγειν προσῆκεν τὴν ἐνοίκησιν. Ἄπειρος μὲν γὰρ ὢν καὶ ἀπερίγραφος τὴν φύσιν πάρεστιν τοῖς πᾶσιν· τῇ δὲ εὐδοκίᾳ τῶν μὲν ἐστιν μακράν, τῶν δὲ ἐγγύς. Κατὰ γὰρ ταύτην τὴν ἔννοιαν λέγεται τό «ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει»[2]· καὶ ἀλλαχοῦ· «Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου, καὶ τὸ πνεῦμά σου μὴ ἀπανέλῃς ἀπ' ἐμοῦ»[3]. Ἐγγύς τε γὰρ γίνεται τῇ διαθέσει τῶν ἀξίων ταύτης τῆς ἐγγύτη-

---

1. Ψαλ. 146,10-11. 2. Ψαλ. 33,19. 3. Ψαλ. 50,13.

τος, καὶ πόῤῥωθεν πάλιν τῶν ἁμαρτανόντων γίνεται· οὔτε τῇ φύσει χωριζόμενος οὔτε ταύτῃ πλησιαίτερον καθιστάμενος, τῇ δὲ σχέσει τῆς γνώμης ἀμφότερα ἐργαζόμενος. Ὥσπερ τοίνυν τῇ εὐδοκίᾳ ἐγγύς τε καὶ μακρὰν γίνεται — πρόδηλον γὰρ ἐκ τῶν εἰρημένων ὅ τι ποτέ φαμεν τὴν εὐδοκίαν, τούτου γε ἕνεκεν καὶ τὴν διάνοιαν τῆς προσηγορίας μετὰ πάσης ἐπελθόντες τῆς ἀκριβείας — οὕτως τῇ εὐδοκίᾳ καὶ τὴν ἐνοίκησιν ἀποτελεῖ, οὐκ ἐν τούτοις μὲν τὴν οὐσίαν περιγράφων ἢ τὴν ἐνέργειαν, τῶν λοιπῶν κεχωρισμένος, ἀλλὰ πᾶσιν μὲν παρὼν τῇ οὐσίᾳ κεχωρισμένος δὲ τῶν ἀναξίων τῇ σχέσει τῆς διαθέσεως. Οὕτως γὰρ αὐτῷ μειζόνως τὸ ἀπερίγραφον σώζεται, ὅταν φαίνηται μὴ ὡς ἀνάγκῃ τινὶ δουλεύων τῷ ἀπεριγράφῳ τῆς φύσεως. Εἰ μὲν γὰρ ἁπανταχοῦ παρὼν τῇ εὐδοκίᾳ, ἑτέρως πάλιν ἀνάγκῃ δουλεύων εὑρίσκετο, οὐκέτι κατὰ γνώμην τὴν παρουσίαν ποιούμενος ἀλλὰ τῷ ἀπείρῳ τῆς φύσεως, καὶ τὴν γνώμην ἑπομένην ἔχων· ἐπειδὴ δὲ καὶ ἅπασιν πάρεστιν τῇ φύσει καὶ κεχώρισται ὧν ἐθέλει τῇ γνώμῃ, οὐδὲν τῶν ἀναξίων ἀπὸ τοῦ παρεῖναι τὸν Θεὸν ὠφελουμένων, ἀληθὲς **[976]** αὐτῷ καὶ ἀκέραιον τὸ τῆς φύσεως ἀπερίγραφον διασώζεται.

Οὕτως γοῦν τοῖς μὲν πάρεστιν τῇ εὐδοκίᾳ τῶν δὲ κεχώρισται, ὡσπερανεὶ τῇ οὐσίᾳ τῶν λοιπῶν χωριζόμενος τούτοις συνῆν. Ὅνπερ τοίνυν τρόπον τῇ εὐδοκίᾳ ἡ ἐνοίκησις γίνεται, τὸν αὐτὸν τρόπον ἡ εὐδοκία καὶ τὸν τῆς ἐνοικήσεως τρόπον ἐναλλάττει. Ὁ γὰρ τὴν ἐνοίκησιν ἐργάζεται τοῦ Θεοῦ, καὶ ὃ τῷ λόγῳ τῆς οὐσίας ἁπανταχοῦ παρόντα τισὶν καὶ σφόδρα εὐαριθμήτοις ἐκ τῶν ἁπάντων ἐνοικοῦντα γνωρίζει, εὐδοκίᾳ λέγω, τοῦτο πάντως καὶ τὸν τῆς ἐνοικήσεως τρόπον χαρακτηρίζει. Ὥσπερ γὰρ πᾶσιν τῇ οὐσίᾳ παρὼν οὐ πᾶσιν ἐνοικεῖν λέγεται, ἀλλὰ τούτοις οἷς ἂν τῇ εὐδοκίᾳ παρῇ· οὕτως κἂν ἐνοικεῖν λέγηται, οὐχ ἴσον τὸ τῆς ἐνοικήσεως πάντως εὑρίσκεται, ἀλλ' ἀκόλουθον ἕξει τῇ εὐδοκίᾳ καὶ τὸν τῆς ἐνοικήσεως τρόπον. Ὅταν τοίνυν ἢ ἐν τοῖς Ἀποστόλοις ἢ ὅλως ἐν τοῖς δικαίοις ἐνοικεῖν λέγηται, ὡς ἐν δικαίοις εὐδοκῶν ποιεῖται τὴν ἐνοίκησιν, ὡς ἐναρέτοις κατὰ τὸν τρόπον ἀρεσκόμενος. Ἐν αὐτῷ μέντοι τὴν **296** ἐνοίκησιν οὐχ οὕτως φαμὲν γεγενῆσθαι — μὴ γὰρ ἂν τοσοῦτο μανείημέν ποτε — ἀλλ' ὡς ἐν υἱῷ. Οὕτως γὰρ εὐδοκήσας ἐνῴκησεν. Τί δέ ἐστιν τὸ ὡς ἐν Υἱῷ; Ὥστε ἐνοικήσας ὅλον μὲν



ἑαυτῷ τὸν λαμβανόμενον ἥνωσεν, παρεσκεύασεν δὲ αὐτὸν συμμετασχεῖν αὐτῷ πάσης τῆς τιμῆς ἧς αὐτὸς ὁ ἐνοικῶν, Υἱὸς ὢν φύσει, μετέχει· ὡς συντελεῖν μὲν εἰς ἓν πρόσωπον, κατά γε τὴν πρὸς αὐτὸν ἕνωσιν, πάσης δὲ αὐτῷ κοινωνεῖν τῆς ἀρχῆς, οὕτως δὲ πάντα κατεργάζεσθαι ἐν αὐτῷ ὡς καὶ τὴν τοῦ παντὸς κρίσιν τε καὶ ἐξέτασιν δι' αὐτοῦ τε καὶ τῆς αὐτοῦ παρουσίας ἐπιτελεῖν· τῆς διαφορᾶς ἐν τοῖς κατὰ τὴν φύσιν χαρακτηρίζουσιν δηλονότι νοουμένη.

Ὥσπερ τοίνυν ἡμεῖς εἰ καὶ ἐν τῷ μέλλοντι τελείως ἐσόμεθα τῷ πνεύματι τό τε σῶμα καὶ τὴν ψυχὴν κυβερνώμενοι, ἀλλ' οὖν γε μερικήν τινα ἐντεῦθεν ὥσπερ ἀπαρχὴν ἔχομεν, καθ' ὃ καὶ βοηθούμενοι τῷ πνεύματι οὐχὶ κατακολουθεῖν τοῖς λογισμοῖς τῆς ψυχῆς ἀναγκαζόμεθα· οὕτως καὶ ὁ Κύριος, εἰ καὶ μετὰ ταῦτα παντελῶς ἔσχεν ἐν αὐτῷ καθόλου τὸν Θεὸν ἐνεργοῦντα λόγον, ἀχώριστον ἔχων πρὸς αὐτὸν πᾶσαν ἐνέργειαν, ἀλλ' οὖν γε καὶ πρὸ τούτου πλεῖστον ὅσον εἶχεν ἐπιτελοῦντα ἐν αὐτῷ τὰ πλεῖστα τῶν δεόντων, συγχωρούμενος μὲν τέως πρὸ τοῦ Σταυροῦ διὰ τὴν χρείαν οἰκείᾳ προθέσει τὴν ὑπὲρ ἡμῶν ἀρετὴν πληροῦν, παρορμώμενος δὲ ὑπ' αὐτοῦ κἀν τούτοις καὶ ῥωννύμενος πρὸς τὴν παντελῆ τῶν προσηκόντων ἐκπλήρωσιν. Ἔσχεν μὲν γὰρ εὐθὺς ἐξ ἀρχῆς ἐν τῇ κατὰ τὴν μήτραν διαπλάσει τὴν πρὸς αὐτὸν ἕνωσιν - ἐφ' ἡλικίας δὲ γεγονὼς καθ' ἣν ἡ διάκρισις ἐγγίνεσθαι πέφυκεν τοῖς ἀνθρώποις τῶν τε καλῶν καὶ **[977]** τῶν μὴ τοιούτων, μᾶλλον δὲ καὶ πρὸ τῆς ἡλικίας ἐκείνης, συντομώτερόν τε πολλῷ καί ταχύτερον τῶν λοιπῶν ἀνθρώπων τὴν διακριτικὴν τῶν τοιούτων δύναμιν ἐπεδείξατο· ἐπεὶ καὶ τοῖς λοιποῖς ἀνθρώποις οὐ πᾶσιν ὁμοίως κατὰ τὸν αὐτὸν καιρὸν ἡ τῆς διακρίσεως ἐγγίνεται δύναμις, τῶν μὲν ταχύτερον πλείονι τῇ φρονήσει τοῖς δέουσιν ἐπιβαλλόντων, τῶν δὲ πλείονι τῷ χρόνῳ τῇ γυμνασίᾳ τοῦτο προσκτωμένων. Ὅπερ δὴ ἐξαιρέτως αὐτῷ παρὰ τοὺς λοιποὺς ὀξύτερον ἢ κατὰ τὴν κοινὴν τῶν λοιπῶν ἡλικίαν προσγέγονεν, εἰκότως καὶ κατὰ τὰ ἀνθρώπινα ἔχειν τι πλέον ὀφείλοντος, ὅσῳ περ οὐδὲ κατὰ τὴν κοινὴν φύσιν τῶν ἀνθρώπων ἐτέτεκτο ἐκ συνδυασμοῦ ἀνδρός τε καὶ γυναικός, ἀλλ' ὑπὸ τῆς θείας τοῦ πνεύματος ἐνεργείας διέπλαστο. Εἶχέν τε καὶ ῥοπὴν οὐ τὴν τυχοῦσαν πρὸς τὰ κρείττω τῇ πρὸς τὸν Θεὸν Λόγον ἑνώσει, ἧς ἠξίωτο κατὰ πρόγνωσιν τοῦ Θεοῦ Λόγου ἄνωθεν

αὐτὸν ἑνώσαντος ἑαυτῷ. Οὕτως δὴ τούτων ἁπάντων ἕνεκεν εὐθὺς μετὰ τῆς διακρίσεως ἔσχεν μὲν πολλὴν πρὸς τὸ κακὸν τὴν ἀπέχθειαν, ἀσχέτῳ δὲ στοργῇ πρὸς τὸ καλὸν ἑαυτὸν συνάψας, ἀνάλογόν τε τῇ οἰκείᾳ προθέσει καὶ τὴν τοῦ Θεοῦ Λόγου συνέργειαν δεχόμενος, ἄτρεπτος λοιπὸν τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς διετηρεῖτο· τοῦτο μὲν αὐτὸς οὕτως ἔχων γνώμης, τοῦτο δὲ τῆς προθέσεως οὕτως διατηρουμένης αὐτῷ τῇ τοῦ Θεοῦ Λόγου συνεργείᾳ. Καὶ μετήει μὲν σὺν εὐμαρείᾳ πλείστῃ ἐπ' ἀκριβεστάτην ἀρετήν, εἴτε τὸν νόμον φυλάττων πρὸ τοῦ Βαπτίσματος, εἴτε τὴν ἐν τῇ χάριτι μετιὼν **297** πολιτείαν μετὰ τὸ Βάπτισμα· ἧς δὴ καὶ ἡμῖν τὸν τύπον παρείχετο, ὁδός τις ἡμῖν ἐπὶ τοῦτο καθιστάμενος. Οὕτως δὲ λοιπὸν μετὰ τὴν 'Ανάστασιν καὶ τὴν εἰς οὐρανοὺς 'Ανάληψιν ἐπιδείξας ἑαυτὸν καὶ ἐκ τῆς οἰκείας γνώμης τῆς ἑνώσεως ἄξιον, προσειληφὼς δὲ ταύτην καὶ πρὸ τούτου ἐν αὐτῇ τῇ διαπλάσει τῇ τοῦ Δεσπότου εὐδοκίᾳ, ἀκριβῆ λοιπὸν καὶ τῆς ἑνώσεως παρέχεται τὴν ἀπόδειξιν, οὐδεμίαν ἔχων κεχωρισμένην καὶ ἀποτετμημένην ἐνέργειαν τοῦ Θεοῦ Λόγου, ἔχων δὲ ἅπαντα ἐν ἑαυτῷ διαπραττόμενον τὸν Θεὸν Λόγον διὰ τὴν πρὸς ἑαυτὸν ἕνωσιν.

Οὕτως γοῦν πρὸ μὲν τοῦ Σταυροῦ καὶ πεινῶντα ὁρῶμεν, καὶ διψῶντα γνωρίζομεν, καὶ δειλιῶντα μανθάνομεν, καὶ ἀγνοοῦντα εὑρίσκομεν· ἐπείπερ καὶ τὴν πρόθεσιν τῆς ἀρετῆς παρ' ἑαυτοῦ συνεισεφέρετο. Καὶ μάρτυς τῶν λεγομένων Ἡσαΐας ὁ προφήτης λέγων· «Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ ἐκλέξασθαι τὸ ἀγαθόν»[1]· δηλονότι διακρίσει, μισήσας μὲν ἐκεῖνο, τοῦτο δὲ ἀγαπήσας· διακρίσει γὰρ ἡ ἐκλογὴ πάντως τῇ πρὸς τὰ χείρω γίνεται. Πῶς οὖν «πρὶν ἢ γνῶναι τὸ παιδίον»[2] τοῦτο διαπράττεται; Τουτέστιν, πρὶν ἐπ' ἐκείνης γενέσθαι τῆς ἡλικίας ἐν ᾗ σύνηθες τοῖς λοιποῖς ἀνθρώποις ποιεῖσθαι τῶν πρακτέων τὴν διάκρισιν, ἔχοντος αὐτοῦ πλέον καὶ ἐξαίρετον παρὰ τοὺς λοιποὺς ἀνθρώπους. Εἰ γὰρ ἔτι καὶ παρ' ἡμῖν εὑρίσκεται πολλάκις νήπια μὲν τὴν ἡλικίαν, πολλῆς δὲ συνέσεως ἐπίδειξιν παρεχόμενα, ὡς εἰς θαῦμα ἄγειν τοὺς ὁρῶντας διὰ τὸ μείζονα τῆς ἡλικίας τὴν οἰκείαν **[980]** ἐπιδείκνυσθαι φρόνησιν, πολλοῦ δήπουθεν ἐκεῖνον

1. Ἡσ. 7,16. 2. Ἔνθ' ἀν.



τὸν ἄνθρωπον ἅπαντας ὑπερβαίνειν ἐχρῆν τοὺς κατ' αὐτὸν ἀνθρώπους.

«Ἰησοῦς δὲ προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι παρά τε Θεῷ καὶ ἀνθρώποις»[1]. «Ἡλικίᾳ» μὲν γὰρ προκόπτει, τῶν χρόνων προβαινόντων· «σοφίᾳ» δέ, κατὰ τὴν τῶν χρόνων πρόοδον, τὴν σύνεσιν προσκτώμενος· «χάριτι» δέ, ἀκόλουθον τῇ συνέσει καὶ τῇ γνώσει τὴν ἀρετὴν μετιών, ἐξ ἧς ἡ παρὰ τῷ Θεῷ χάρις αὐτῷ τὴν προσθήκην ἐλάμβανεν· καὶ ἐν πᾶσιν τούτοις προέκοπτεν «παρά τε Θεῷ καὶ ἀνθρώποις»[2], τῶν μὲν ὁρώντων τὴν προκοπήν, τοῦ δὲ οὐχ ὁρῶντος μόνον, ἀλλὰ καὶ ἐπιμαρτυροῦντος καὶ **298** συνεργοῦντος τοῖς γενομένοις. Δῆλον δὲ ἄρα κἀκεῖνο, ὡς τὴν ἀρετὴν ἀκριβέστερόν τε καὶ μετὰ πλείονος ἐπλήρου τῆς εὐχερείας ἢ τοῖς λοιποῖς ἀνθρώποις ἦν δυνατόν, ὅσῳ καὶ κατὰ πρόγνωσιν τοῦ ὁποῖός τις ἔσται ἑνώσας αὐτὸν ὁ Θεὸς Λόγος ἑαυτῷ ἐν αὐτῇ διαπλάσεως ἀρχῇ, μείζονα παρεῖχεν τὴν παρ' ἑαυτοῦ συνέργειαν πρὸς τὴν τῶν δεόντων κατόρθωσιν, ὑπὲρ τῆς ἁπάντων σωτηρίας τὰ κατ' αὐτὸν οἰκονομῶν· καὶ παρορμῶν μὲν ἐπὶ τὰ τελεώτερα, ἐπικουφίζων δὲ αὐτῷ τῶν κόπων τὸ πλέον, εἴτε τῶν κατὰ ψυχήν, εἴτε καὶ τῶν κατὰ τὸ σῶμα· καὶ οὕτως αὐτῷ μείζονά τε καὶ κουφοτέραν τῆς ἀρετῆς κατασκευάζων τὴν ἐκπλήρωσιν.

Ἥνωτο μὲν γὰρ ἐξ ἀρχῆς τῷ Θεῷ ὁ ληφθεὶς κατὰ πρόγνωσιν· ἐν αὐτῇ τῇ διαπλάσει τῆς μήτρας τὴν καταρχὴν τῆς ἑνώσεως δεξάμενος. Ἤδη δὲ τῆς ἑνώσεως ἠξιωμένος, ἁπάντων ἐτύγχανεν ὅσων εἰκὸς ἦν ἄνθρωπον τυχεῖν ἡνωμένον τῷ Μονογενεῖ καὶ τῶν ὅλων Δεσπότῃ, μειζόνων ἀξιούμενος παρὰ τοὺς λοιποὺς ὅσῳπερ αὐτῷ καὶ τὸ τῆς ἑνώσεως ἐξαίρετον εἶναι συνέβαινεν· ἠξιώθη γοῦν καὶ τῆς τοῦ Πνεύματος ἐνοικήσεως πρῶτος παρὰ τοὺς λοιποὺς ἀνθρώπους. Καὶ ἠξιώθη ταύτης οὐχ ὁμοίως τοῖς λοιποῖς· οὗτος μὲν γὰρ ὅλην τὴν χάριν τοῦ Πνεύματος ἐν ἑαυτῷ ἐδέξατο, ἑτέροις δὲ μερικὴν παρεῖχεν τοῦ παντὸς Πνεύματος τὴν μετουσίαν· οὕτως δὲ καὶ ἐνεργεῖν ἐν αὐτῷ ἅπαν τὸ Πνεῦμα συνέβαινεν. Τὸ μὲν οὖν φθεγγόμενον κατ' αὐτὴν τῆς φωνῆς τὴν προσφοράν, ἄνθρωπος ἦν· ἡ δέ γε τῶν λεγομένων δύναμις πολλή τις καὶ διάφορος.

1. Λουκ. 2,52. 2. Ἔνθ' ἀν.

## Λόγος η΄

«Κἀγὼ τὴν δόξαν ἣν ἔδωκάς μοι δέδωκα αὐτοῖς»[1]. Ποίαν ταύτην; Τοῦ τῆς υἱοθεσίας μεταλαβεῖν. Ταύτην γὰρ ἔλαβεν αὐτὸς κατὰ τὸ ἀνθρώπινον, βαπτισθεὶς πρότερον ἐν τῷ Ἰορδάνῃ, ἔνθα δὴ καὶ προετυποῦτο ἐν αὐτῷ τὸ ἡμέτερον βάπτισμα ἥ τε γιγνομένη ἀναγέννησις ἐμαρτυρεῖτο τῇ πατρικῇ φωνῇ λέγοντος· «οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα»[2]. Καὶ τὸ Πνεῦμα κατελθὸν ἔμεινεν ἐπ' αὐτῷ, καθὰ καὶ ἡμεῖς ἐν τῷ Βαπτίσματι τούτου μετέχειν ἐμέλλομεν· ὅπερ λοιπὸν ἐξαιρέτως αὐτῷ **[981]** παρ' ἡμᾶς προσγέγονεν, διὰ τῆς πρὸς τὸν Θεὸν Λόγον ἑνώσεως τούτων μετέχοντι ὧν ὁ κατὰ φύσιν Υἱός.

**299** Πανταχόθεν ἄρα δῆλον ὡς περιττὸν μὲν τὸ τῆς κράσεως καὶ ἀπρεπὲς καὶ ἀφαρμόζον, ἑκάστης τῶν φύσεων ἀδιαλύτως ἐφ' ἑαυτῆς μεινάσης. Πρόδηλον δὲ ὡς τὸ τῆς ἑνώσεως ἐφαρμόζον· διὰ γὰρ ταύτης συναχθεῖσαι αἱ φύσεις ἓν πρόσωπον κατὰ τὴν ἕνωσιν ἀπετέλεσαν· ὥστε ὅπερ ὁ Κύριος ἐπί τε τοῦ ἀνδρὸς καὶ τῆς γυναικός φησιν· «ὥστε οὐκέτι εἰσὶν δύο, ἀλλὰ σὰρξ μία»[3], εἴποιμεν ἂν καὶ ἡμεῖς εἰκότως κατὰ τὸν τῆς ἑνώσεως λόγον, 'ὥστε οὐκέτι εἰσὶν δύο πρόσωπα ἀλλ' ἕν', δηλονότι τῶν φύσεων διακεκριμένων· ὥσπερ γὰρ ἐκεῖ οὐ λυμαίνεται τῷ ἀριθμῷ τῆς δυάδος τὸ μίαν λέγεσθαι τὴν σάρκα, πρόδηλον γὰρ καθ' ὃ μία λέγονται· οὕτως κἀνταῦθα οὐ λυμαίνεται τῇ τῶν φύσεων διαφορᾷ τοῦ προσώπου ἡ ἕνωσις. Ὅταν μὲν γὰρ τὰς φύσεις διακρίνωμεν, τελείαν τὴν φύσιν τοῦ Θεοῦ Λόγου φαμέν, καὶ τέλειον τὸ πρόσωπον· οὐδὲ γὰρ ἀπρόσωπόν ἐστιν ὑπόστασιν εἰπεῖν· τελείαν δὲ καὶ τὴν τοῦ ἀνθρώπου φύσιν, καὶ τὸ πρόσωπον ὁμοίως· ὅταν μέντοι ἐπὶ τὴν συνάφειαν ἀπίδωμεν, ἓν πρόσωπον τότε φαμέν.

**300** Τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα ἰδίαν φαμὲν τοῦ Θεοῦ λόγον τὴν οὐσίαν, ἰδίαν δὲ καὶ τὴν τοῦ ἀνθρώπου· διακεκριμέναι γὰρ αἱ φύσεις, ἓν δὲ τὸ πρόσωπον τῇ ἑνώσει ἀποτελούμενον· ὥστε κἀνταῦθα ὅταν μὲν τὰς φύσεις διακρίνειν πειρώμεθα, τέλειον τὸ πρόσωπόν φαμεν εἶναι τὸ τοῦ ἀνθρώπου, τέλειον δὲ καὶ τὸ τῆς θε-

**1.** Ἰω. 17,22. **2.** Ματθ. 3,17. **3.** Ματθ. 19,6.



ότητος. Ὅταν δὲ πρὸς τὴν ἕνωσιν ἀποβλέψωμεν, τότε ἓν εἶναι τὸ πρόσωπον ἄμφω τὰς φύσεις κηρύττομεν, τῆς τε ἀνθρωπότητος τῇ θεότητι τὴν παρὰ τῆς κτίσεως τιμὴν δεχομένης, καὶ τῆς θεότητος ἐν αὐτῇ πάντα ἐπιτελούσης τὰ δέοντα.

## Λόγος Θ΄

1. Ἐνταῦθα τοίνυν τό «ἐγένετο»[1] οὐδαμῶς ἑτέρως λέγεσθαι δυνάμενον εὑρήκαμεν ἢ κατὰ τὸ δοκεῖν· ὃ δὴ καὶ αὐτὸ λεγόμενον ἐν τῇ θείᾳ Γραφῇ καὶ μάλιστα ἐπὶ τοῦ Κυρίου δι' ἑτέρων ἐν τοῖς ἀνωτέρω ἀκριβέστερον ἐδιδάξαμεν· τὸ μὲν δοκεῖν «ὁ λόγος σὰρξ ἐγένετο»[2], τὸ δὲ δοκεῖν οὐ κατὰ τὸ μὴ εἰληφέναι σάρκα ἀληθῆ, ἀλλὰ κατὰ τὸ μὴ γεγενῆσθαι. Ὅταν μὲν γάρ 'ἔλαβεν' λέγῃ, οὐ κατὰ τὸ δοκεῖν, ἀλλὰ κατὰ τὸ ἀληθὲς λέγει· ὅταν δέ «ἐγένετο», τότε κατὰ τὸ δοκεῖν· οὐ γὰρ μετεποιήθη εἰς σάρκα. Προσεκτέον οὖν τὴν διάνοιαν τοῦ Εὐαγγελιστοῦ· οὕτως γὰρ γνωσόμεθα τοῦ λεγομένου τὴν δύναμιν.

2. Ὅπερ γὰρ ἐφ' ἡμῶν κατὰ τὴν ἐν τόπῳ λέγεται σχέσιν, τοῦτο ἐπὶ τοῦ Θεοῦ κατὰ τὴν τῆς **[984]** γνώμης· ὡς γάρ φαμεν ἐφ' ἡμῶν ὅτι 'ἐν τῷδε γέγονα τῷ τόπῳ', οὕτως καὶ ἐπὶ Θεοῦ ὅτι γέγονεν ἐν τῷδε. Ἐπειδὴ ὅπερ ἐφ' ἡμῶν ἡ μετάβασις ἐργάζεται, τοῦτο ἐπὶ τοῦ Θεοῦ ἡ γνώμη, ἁπανταχοῦ τῇ φύσει τυγχάνοντος.

## Λόγος Ι΄

**301** 1. «Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν· καὶ γενόμενος ἐν ἀγῶνι ἐκτενέστερον προσηύχετο. Καὶ ἐγένετο ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντος ἐπὶ τὴν γῆν»[3]. Οὐκοῦν τὸν μὲν ἀγῶνα καὶ τοῦτον οὐ τὸν τυχόντα φανερῶς ὑπομεμενηκότα τὸν Χριστὸν ἐκ τῶν εἰρημένων μανθάνομεν ........ ποίαν δὲ καὶ ἕξει ἀκολουθίαν τὸ λεγόμενον «ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς»[4], καί «ὁ ὢν ἐν τῷ οὐρανῷ»[5]; Ἀναιρεῖται γὰρ θατέρῳ τὸ ἕτερον, τὸ μὲν καταβεβηκέναι ἐξ οὐρανοῦ τῷ εἶναι ἐν τῷ οὐρανῷ, τὸ δὲ εἶναι τῷ καταβεβηκέναι. Ἀλλὰ καταβέβηκεν μὲν τῇ εἰς τὸν

**1.** Ἰω. 1,14. **2.** Ἐνθ' ἀν. **3.** Λουκ. 22,43-44. **4.** Ἰω. 3,13. **5.** Ματθ. 6,9.

ἄνθρωπον ἐνοικήσει· ἔστιν δὲ ἐν οὐρανῷ τῷ ἀπεριγράφῳ τῆς φύσεως πᾶσιν παρών.

2. «[Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ Υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτοῦ;]»[1]. Σκοπῶμεν οὖν τίς ἄνθρωπος περὶ οὗ ἐκπλήττεται καὶ θαυμάζει, ὅτι δὴ **302** ὁ Μονογενὴς κατηξίωσεν αὐτοῦ μνησθῆναί τε καὶ ἐπισκοπὴν ποιήσασθαι. Ἀλλ' ὅτι οὐ περὶ παντὸς ἀνθρώπου μὲν εἴρηται, ἐν τοῖς ἀνωτέρω δέδεικται· ὅτι δὲ οὐδὲ περὶ ἑνός τινος τῶν τυχόντων, καὶ τοῦτο εὔδηλον. Ἵνα δὲ ἅπαντα παρῶμεν, τὸ πάντων εὐπιστότερον τὴν ἀποστολικὴν μαρτυρίαν ἐκδεξώμεθα.

## Λόγος ΙΒʹ

**303** 1. Διὰ τοῦτο οὐχ εἶπεν «ἐλάλησεν ἡμῖν ἐν τῷ Υἱῷ»[2], ἀλλ', ἐν Υἱῷ, ὃ δὴ καὶ λεγόμενον ἀπολύτως ἀμφότερα κατὰ ταὐτὸν σημαίνειν ἠδύνατο· πρωτοτύπως μὲν σημαῖνον τὸν ἀληθινὸν Υἱόν. Ἀληθῆ δὲ Υἱὸν λέγω **[985]** τὸν τῇ φυσικῇ γεννήσει τὴν υἱότητα κεκτημένον· ἑπομένως δὲ συνεπιδεχόμενον τῇ σημασίᾳ καὶ τὸν κατὰ ἀλήθειαν τῆς ἀξίας μετέχοντα τῇ πρὸς αὐτὸν ἑνώσει.

2. Ἄρα παύσονται λοιπὸν τῆς ἀναισχύντου μάχης, ἀποστήσονται δὲ λοιπὸν τῆς ματαίας φιλονεικίας, αἰδεσθέντες τῶν εἰρημένων τὸ προφανές; «πολλούς» γάρ, φησίν, «υἱοὺς εἰς δόξαν ἀγαγόντα»[3]. Ἰδοὺ τοίνυν ἐν τῷ τῆς υἱότητος λόγῳ καὶ συγκατατάττων ὁ Ἀπόστολος φαίνεται τὸν ἀναληφθέντα ἄνθρωπον τοῖς πολλοῖς. Οὐ καθ' ὁμοίωσιν ἐκείνοις τῆς υἱότητος μετέχων, ἀλλὰ καθ' ὁμοίωσιν καθ' ὃ χάριτι προσείληφεν τὴν υἱότητα, τῆς θεότητος μόνης τὴν φυσικὴν υἱότητα κεκτημένης. Πρόδηλον γὰρ ἐκεῖνο, ὡς τῆς υἱότητος αὐτῷ παρὰ τοὺς λοιποὺς ἀνθρώπους προσέστιν τὸ ἐξαίρετον τῇ πρὸς αὐτὸν ἑνώσει· ὅθεν καὶ τῇ τοῦ Υἱοῦ φωνῇ συνεπινοούμενος συμπαραλαμβάνεται. Ἀλλὰ λογοποιοῦνται πρὸς ἡμᾶς ὅτι εἰ δύο τέλεια φάσκομεν, πάντως δύο καὶ τοὺς υἱοὺς ἐροῦμεν. Ἀλλ' ἰδοὺ καὶ Υἱὸς εἴρηται ἐν τῇ θείᾳ Γραφῇ, κατ' αὐτό, τῆς Θεότητος ὑπεξῃρημένης, τοῖς λοιποῖς ἀνθρώποις συντεταγμένος·

1. Ψαλ. 8,5. 2. Ἑβρ. 1,2. 3. Ἑβρ. 2,10.



καὶ οὐχ ἤδη **304** δύο φαμὲν τοὺς υἱούς, εἷς δὲ Υἱὸς ὁμολογεῖται δικαίως· ἐπείπερ ἡ τῶν φύσεων διαίρεσις ἀναγκαίως ὀφείλει διαμένειν, καὶ ἡ τοῦ προσώπου ἕνωσις ἀδιασπάστως φυλάττεσθαι. Καὶ εἰρηκὼς «πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα»[1], ἐπάγει «τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι». Ὁρᾶτε πῶς φανερῶς τὸν Θεὸν Λόγον φησίν «[διὰ] παθημάτων» τετελειωκέναι τὸν ἀναληφθέντα ἄνθρωπον, ὃν καί «ἀρχηγὸν τῆς σωτηρίας»[2] ἐκάλεσεν ὡς αὐτόν τε πρῶτον ταύτης ἀξιωθέντα καὶ ἑτέροις αἴτιον καταστάντα.

3. Ἅπασιν γὰρ τοῖς τοιούτοις κατὰ τὴν ἐξήγησιν τὸ τοῦ Υἱοῦ τιθέντες ὄνομα διατελοῦσιν· ἀνθρωπινωτέρων γὰρ ὄντων τῶν λεγομένων ἐδικαίουν ταύτῃ κεχρῆσθαι τῇ φωνῇ, ἥντινα καὶ εἶναι αὐτῷ τὴν προσηγορίαν συνέβαινεν. Καὶ ὅτι Ἰησοῦς[3] ὄνομα τοῦ ἀναληφθέντος ἡ προσηγορία, ὥσπερ καὶ τῶν Ἀποστόλων τὸ Πέτρος καὶ Παῦλος, ἢ εἴ τι τοιοῦτο λεγόμενον· οὕτως τε ἐπικληθὲν αὐτῷ μετὰ τὴν γέννησιν τὴν ἐκ Μαρίας...

4. Ἀλλὰ πρὸς τοῦτό φασιν ὅτι τὸ Ἰησοῦς ὄνομα Σωτῆρα σημαίνει. Σωτὴρ δέ (φασίν) πῶς ἂν ὁ ἄνθρωπος λέγοιτο; ἐπιλελησμένοι ὅτι Ἰησοῦς ἐλέγετο καὶ ὁ τοῦ Ναυῆ, καὶ τὸ δὴ θαυμαστόν, οὐκ ἀπό τινος οὕτως κληθεὶς συντυχίας ἐν τῇ γενέσει, ἀλλὰ μετονομασθεὶς ἀπὸ τοῦ Μωυσέως. Δῆλον δὲ ὡς οὐκ ἂν αὐτὸ θεῖναι ἐπ' ἀνθρώπου ἠνέσχετο, εἴπερ Θείας ἦν πάντως φύσεως σημαντικόν.

5. «Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατρά**305**σιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχά**[988]**των ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ»[4]. Φανερῶς γὰρ ἐνταῦθα «ἐν Υἱῷ»[5] τῷ ἀνθρώπῳ λέγων δείκνυται[6].

6. Ὥστε οὐ μόνον 'Υἱόν' αὐτὸν ἀποκαλεῖ τοῦ Θεοῦ Λόγου ἀφορίσας, ἀλλὰ καὶ συντάττων κατὰ τὸν τῆς υἱότητος λόγον τοῖς λοιποῖς τοῖς μετεσχηκόσιν **306** τῆς υἱότητος ἐλέγχεται, ἐπείπερ χάριτι καὶ αὐτὸς μετέσχηκεν τῆς υἱότητος, οὐ φυσικῶς ἐκ τοῦ Πατρὸς γεγεννημένος, ἔχων μέντοι παρὰ τοὺς λοιποὺς τὴν ὑπεροχήν,

1. Ἑβρ. 2,10. 2. Ἔνθ' ἀν. 3. Πρβλ. Ματθ. 1,21. 4. Ἑβρ. 1,1-2. 5. Ἑβρ. 1,2. 6. Πρβλ. Ἑβρ. 1,5.

ὅτι τῇ πρὸς αὐτὸν ἑνώσει κέκτηται τὴν υἱότητα· ὃ δὴ κυριοτέραν αὐτῷ τοῦ πράγματος χαρίζεται τὴν μετουσίαν.

7. «Καὶ καλέσεις τὸ ὄνομα αὐτῷ Ἰησοῦν. Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται»[1]. Ἰδοὺ τοίνυν ὅπως τὸν ἐκ Μαρίας εὐαγγελιζόμενος τόκον, κατὰ σάρκα λέγων, καὶ Ἰησοῦν μὲν αὐτὸν κληθῆναι κελεύει, Υἱὸν δὲ Ὑψίστου κληθήσεσθαι προαγορεύει· εἰκότως· τὸ μὲν τεθῆναι κελεύων ὡς προσηγορίαν τοῦ τικτομένου, τὸ δὲ κληθήσεσθαι προαγορεύων, ἐπειδὴ τιμῆς ἦν σύμβολον τὸ ὄνομα ἣν ἐξῆς ἐβεβαίου τοῦ πράγματος ἡ μετουσία.

8. Δῆλον δὲ ὅτι περ ἐν τῇ τῶν φύσεων διακρίσει πάντως ἡμῖν ἐπιτετήρηται τὸ εἰδέναι· ὡς ὁ μὲν Θεὸς Λόγος κατὰ τὴν φυσικὴν γέννησιν Υἱὸς εἶναι λέγεται, ὁ δὲ ἄνθρωπος, πολλῷ γε μείζονος οὔσης ἢ κατ' αὐτὸν τοῦ Υἱοῦ τῆς ἀξίας ἀπολαύειν διὰ τὴν πρὸς ἐκεῖνον συνάφειαν.

## Λόγος ΙΓ'

1. «Ὃς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν Πνεύματι· δεδικαιῶσθαι «ἐν πνεύματι λέγων»[2] αὐτόν, εἴτε ὡς πρὸ τοῦ Βαπτίσματος μετὰ τῆς **307** προσηκούσης ἀκριβείας τὸν νόμον φυλάξαντα, εἴτε ὡς καὶ μετ' ἐκεῖνο τὴν τῆς χάριτος πολιτείαν τῇ τοῦ Πνεύματος συνεργείᾳ μετὰ πολλῆς πληροῦντα τῆς ἀκριβείας.

2. Οὐδὲ γὰρ τὸ ὑπὸ Ἰωάννου πρὸς αὐτὸν εἰρημένον ὅτι «ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;»[3] — οὐδὲ τοῦτο ἀναιρήσει τὸ τὸν ἄνθρωπον εἶναι τὸν βαπτιζόμενον. Ἁρμόσει γὰρ αὐτῷ καὶ κατὰ τὸν τῆς ἀνθρωπότητος λόγον, ἐπείπερ κατά γε αὐτὴν τὴν ἀρετὴν πολλὴν εἶχεν τὴν ὑπεροχὴν πρὸς Ἰωάννην, καὶ διὰ τὴν ἐνοικοῦσαν αὐτῷ τῆς θεότητος φύσιν οὐχ ὑπὲρ Ἰωάννην μόνον ἀλλὰ καὶ ὑπὲρ πάντας ἀνθρώπους· ἤδη δὲ καὶ ὑπὲρ τὴν κτίσιν ἔχων τὸ ἀξίωμα δικαίως ἐγνωρίζετο...

Διόπερ ὁ Κύριος βουλόμενος ἐν τῇ χρείᾳ τῆς τροφῆς τό τε καρτερικὸν καὶ ἐμφιλόσοφον ἐπιδείξασθαι, τοῦτο μὲν γενέσθαι οὐχ αἰτεῖ. Δεικνὺς γὰρ ὅτι ἔλαττον αὐτῷ μέλει τῆς τροφῆς καὶ προτι-

**1.** Λουκ. 1,31-32. **2.** Α' Τιμ. 3,16. **3.** Ματθ. 3,14.



μότερον αὐτῷ τῆς ἀρετῆς οὐδέν, φησὶν πρὸς αὐτόν· «οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ»[1]...

**[989]** Τοῦτο γὰρ ὁ διάβολος ἐσπούδασεν, πεῖσαι μὲν αὐτὸν ὡς οὐδαμῶς αὐτοῦ φροντὶς τοῦ Θεοῦ. Διὸ ἔλεγεν· «εἰ Υἱὸς εἶ τοῦ Θεοῦ»[2], ποίησον τόδε, τουτέστιν· ἔργῳ δεῖξον ὅτι μέλει σου τῷ Θεῷ. Αὐτὸς δὲ ὑπισχνεῖτο μεγάλα, ὡς δι' ἐκείνου μὲν ἀποστήσων τοῦ Θεοῦ, διὰ δὲ τῶν ὑποσχέσεων οἰκειώσων ἑαυτῷ. Καὶ τῇ μὲν προτέρᾳ πείρᾳ τὸν ἄρτον προβάλλεται, τῇ ἡδονῇ γαργαλίζων ἐπὶ τὴν πεῖραν ἐλθεῖν... διόπερ ὁ Κύριος ἐν τοῖς τρίσιν ἡττήσας αὐτόν, ἡμῖν τὴν κατ' αὐτοῦ δίκην ἐχαρίσατο. Οὐκ αἰτήσας μὲν γὰρ τὸ τὸν ἄρτον γενέσθαι παρὰ τοῦ Θεοῦ, ἔδειξεν ἑαυτὸν ἡδονῆς κρατοῦντα· μὴ βαλὼν δὲ ἑαυτὸν κάτω, δόξης ὑπερεῖδεν, πείσας ἅπαντας ὡς οὐ μέλειν αὐτῷ ταύτης· διὰ δὲ τοῦ τρίτου κρατήσας τῶν τοῦ κόσμου ἀγαθῶν, ἔδειξεν ἑαυτὸν οὐδὲν τούτων ὑπὲρ εὐσεβείας ἡττώμενον...

## Λόγος ΙΔ'

**308** 1. Ἐντεῦθεν οὖν καὶ τοσαύτη γέγονεν περὶ τὸν ἄνθρωπον ἡ τιμή, καταξιωθέντα θείας ἐνοικήσεως τοῦ τε καθῆσθαι ἐκ δεξιῶν τοῦ Πατρὸς καὶ προσκυνεῖσθαι παρὰ πάσης τῆς κτίσεως. Οὐδὲ γὰρ ἂν ὁ Θεὸς οὕτως ἁπλῶς καὶ ἄνευ τινὸς χρησίμου λόγου ἄνθρωπον μὲν ἐλάμβανεν καὶ ἥνου πρὸς ἑαυτόν, προσκυνεῖσθαι παρὰ τῆς κτίσεως παρασκευάζων ἁπάσης, τὰς δέ γε νοητὰς φύσεις προσκυνεῖν ἐδικαίου, εἰ μὴ τὰ περὶ αὐτὸν γεγονότα κοινὴ πάσης ἦν εὐεργεσία τῆς κτίσεως.

2. Ταὐτὸ δὲ τοῦτο φήσομεν δικαίως καὶ ἐπὶ τοῦ Κυρίου, ὅτι περ ὁ Θεὸς Λόγος ἐπιστάμενος αὐτοῦ τὴν ἀρετήν, καὶ δὴ κατὰ πρόγνωσιν εὐθὺς ἄνωθεν ἐν τῇ τῆς διαπλάσεως ἀρχῇ ἐνοικῆσαί τε εὐδοκήσας καὶ ἑνώσας αὐτὸν ἑαυτῷ τῇ σχέσει τῆς γνώμης, μείζονά τινα παρεῖχεν αὐτῷ τὴν χάριν, ὡς τῆς εἰς αὐτὸν χάριτος εἰς πάντας τοὺς ἑξῆς διαδοθησομένης ἀνθρώπους. Ὅθεν καὶ τὴν περὶ τὰ καλὰ πρόθεσιν ἀκέραιον αὐτῷ διεφύλαττεν.

**1.** Ματθ. 4,4. **2.** Ματθ. 4,3.

Οὐ γὰρ δὴ τοῦτο φήσομεν ὅτι περ ὁ ἄνθρωπος πρόθεσιν εἶχεν οὐδεμίαν, ἀλλ' ὅτι προὐτεθεῖτο μὲν αὐτῷ τὸ καλόν· μᾶλλον δὲ πλείστη αὐτῷ τῆς κατὰ πρόθεσιν προσῆν ἥ τε τοῦ καλοῦ στοργὴ καὶ τὸ τοῦ ἐναντίου μῖσος· διεφυλάττετο δὲ αὐτῷ τὰ τῆς προθέσεως ἀκέραια ὑπὸ τῆς Θείας χάριτος, ἄνωθεν τοῦ Θεοῦ ὁποῖός τίς ἐστιν **309** ἀκριβῶς ἐπι**[992]**σταμένου, καὶ δὴ πρὸς τὴν τούτου βεβαίωσιν πολλὴν αὐτοῦ παρέχοντος τῇ οἰκείᾳ ἐνοικήσει τὴν συνεργείαν ὑπὲρ τῆς ἁπάντων ἡμῶν σωτηρίας. Ὅθεν οὐδὲ ἀδικίας εἴποι τις τὸ παρὰ πάντας ἐξαίρετόν τι παρεσχῆσθαι τῷ ὑπὸ τοῦ Κυρίου ληφθέντι ἀνθρώπῳ.

### Λόγος ΙΕ'

**310** 1. Ὅταν τοίνυν ἐρωτῶσιν 'ἀνθρωποτόκος ἢ Θεοτόκος ἡ Μαρία', λεγέσθω παρ' ἡμῶν 'ἀμφότερα'· τὸ μὲν γὰρ τῇ φύσει τοῦ πράγματος, τὸ δὲ τῇ ἀναφορᾷ. Ἀνθρωποτόκος μὲν γὰρ τῇ φύσει, ἐπείπερ ἄνθρωπος ἦν ὁ ἐν τῇ κοιλίᾳ τῆς Μαρίας, ὡς καὶ προῆλθεν ἐκεῖθεν· Θεοτόκος δέ, ἐπείπερ Θεὸς ἦν ἐν τῷ τεχθέντι ἀνθρώπῳ, οὐκ ἐν αὐτῷ περιγραφόμενος κατὰ τὴν φύσιν, ἐν αὐτῷ δὲ ὢν κατὰ τὴν σχέσιν τῆς γνώμης.

**311** 2. Πλέον γὰρ ὠχλεῖτο ὁ Κύριος καὶ ἠγωνίζετο πρὸς τὰ ψυχικὰ πάθη ὑπὲρ τὰ τοῦ σώματος, καὶ τῷ κρείττονι λογισμῷ τὰς ἡδονὰς ἐχειροῦτο, τῆς Θεότητος δηλαδὴ μεσιτευούσης καὶ βοηθούσης αὐτῷ πρὸς τὴν κατόρθωσιν.

* * * *

Κατὰ τὴν πρόγνωσιν τοῦ λόγου δειχθεὶς ὁ τεχθεὶς ἐκ τῆς Παρθένου δίχα σπορᾶς ἄνθρωπος, οὐ διεκρίθη τοῦ λόγου, ταυτότητι γνώμης αὐτῷ συνημμένος, καθ' ἣν εὐδοκήσας ἥνωσεν αὐτὸν ἑαυτῷ, καὶ διέδειξεν αὐτὸν καὶ **312** τὴν ἐνέργειαν πρὸς αὐτὸν ἀπαράλλακτον, αὐθεντίαν τε καὶ ἐξουσίαν τὴν αὐτὴν ἀδιαίρετον ἔχοντα καὶ τὴν προσκύνησιν ἰσότητος νόμῳ μὴ παραλλάσσουσαν.

# ΚΑΤΑ ΑΠΟΛΙΝΑΡΙΟΥ

## Λόγος Γ'

**312 [997]** 1. Ἀλλ' ὅ γε Θεὸς καὶ ἐκ Θεοῦ, ὁμοούσιος τῷ Πατρί, τῷ μὲν ἐκ τῆς Παρθένου γεννηθέντι, ὦ θαυμάσιε, καὶ ὑπὸ τοῦ Ἁγίου Πνεύματος κατὰ τὰς θείας ἀναπλασθέντι Γραφὰς καὶ τήν γε σύστασιν ἐπὶ τῆς γυναικείας δεξαμένῳ γαστρός, ἐνῆν ὡς εἰκός· ἐπειδὴ ἅμα τῷ διαπλασθῆναι καὶ τὸ εἶναι ναὸς Θεοῦ εἰλήφει. Οὐ μὴν τὸν Θεὸν γεγεννῆσθαι ἡγητέον ἡμῖν ἐκ **313** τῆς Παρθένου, εἰ μὴ ἄρα ταὐτὸν ἡγητέον ἡμῖν τό τε γεννηθὲν καὶ τὸ ἐν τῷ γεννηθέντι, τὸν ναὸν καὶ τὸν ἐν τῷ ναῷ Θεὸν Λόγον· οὐ μὴν οὐδὲ κατὰ τὴν σὴν φωνὴν ἀποφαντέον πάντη τὸν ἐκ τῆς Παρθένου γεννηθέντα Θεὸν εἶναι ἐκ Θεοῦ ὁμοούσιον τῷ Πατρί. Εἰ γὰρ οὐκ ἄνθρωπός ἐστιν, ὡς φῄς, ἀναληφθεὶς ὁ γεννηθεὶς ἐκ τῆς παρθένου, Θεὸς δὲ σαρκωθείς, πῶς ὁ γεννηθεὶς Θεὸς ἐκ Θεοῦ καὶ ὁμοούσιος λέγοιτο ἂν τῷ Πατρί, τῆς σαρκὸς οὐ δυναμένης ταύτην προσίεσθαι τὴν φωνήν; Ἔστιν μὲν γὰρ ἀνόητον τὸ τὸν Θεὸν ἐκ τῆς Παρθένου γεγεννῆσθαι λέγειν. Τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ ἐκ σπέρματος αὐτὸν λέγειν Δαβίδ[1] ἐκ τῆς οὐσίας τῆς Παρθένου τετεγμένον καὶ ἐν αὐτῇ διαπεπλασμένον· ἐπεί γε τὸ [ἐκ] σπέρματος Δαβὶδ καὶ ἐκ τῆς οὐσίας τῆς Παρθένου συστὰν ἐν τῇ μητρῴᾳ γαστρὶ καὶ τῇ τοῦ Ἁγίου Πνεύματος[2] διαπλασθὲν δυνάμει γεγεννῆσθαί φαμεσν ἐκ τῆς Παρθένου.

Ἀλλ' οὐχ ἡ θεία φύσις ἐκ Παρθένου γεγέννηται, γεγέννηται δὲ ἐκ τῆς Παρθένου ὁ ἐκ τῆς οὐσίας τῆς Παρθένου συστάς· οὐχ ὁ Θεὸς Λόγος ἐκ τῆς **314** Μαρίας γεγέννηται, γεγέννηται δὲ ἐκ Μαρίας ὁ ἐκ σπέρματος Δαβίδ· οὐχ ὁ Θεὸς Λόγος ἐκ γυναικὸς γεγέννηται· γεγέννηται δὲ ἐκ γυναικὸς ὁ τῇ τοῦ Ἁγίου Πνεύματος δυνάμει διαπλασθεὶς ἐν αὐτῇ· οὐκ ἐκ μήτρας τέτεκται ὁ ὁμοούσιος τῷ Πατρί, «ἀμήτωρ»[3] γὰρ οὗτος κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν, ἀλλὰ ὁ ἐν ὑστέροις καιροῖς ἐν τῇ μητρῴᾳ γαστρὶ τῇ τοῦ Ἁγίου

---

**1.** Πρβλ. Ρωμ. 1,3. **2.** Πρβλ. Λουκ. 1,35. **3.** Ἑβρ. 7,3.

Πνεύματος δυνάμει διαπλασθείς, ἅτε καί «ἀπάτωρ» διὰ τοῦτο λεγόμενος.

**317 [1000]** 2. "Ἐγὼ μέν, ὡς ὁρᾶτε, δύναμαι μὲν ποιεῖν οὐδὲν κατὰ τὴν οἰκείαν φύσιν[1], ἅτε ἄνθρωπος ὤν· ἐργάζομαι δέ, ἐπειδή «ἐν ἐμοὶ μένων ὁ πατήρ»[2] ἅπαντα ποιεῖ. Ἐπειδὴ γάρ «ἐγώ» τε (φησίν) «ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί»[3]. Θεὸς δὲ Λόγος ἐν ἐμοί, ὁ τοῦ Θεοῦ Μονογενής· δηλονότι καὶ Πατὴρ σὺν αὐτῷ ἐν ἐμοί τε μένων καὶ ἔργα ποιῶν"[4]. Καὶ θαυμαστόν γε οὐδὲν ἐπὶ τοῦ Χριστοῦ τοῦτο νομίζειν, σαφῶς αὐτοῦ περὶ τῶν λοιπῶν λέγοντος ἀνθρώπων· «ὁ ἀγαπῶν με τὸν λόγον μου τηρήσει, καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτόν· καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν»[5]. Εἰ γὰρ παρ' ἑκάστῳ τῶν τοιούτων ὅ τε Πατὴρ καὶ ὁ Υἱὸς τὴν μονὴν ποιοῦνται, τί θαυμαστὸν εἰ ἐν τῷ κατὰ σάρκα Δεσπότῃ Χριστῷ ἄμφω κατ' αὐτὸ νομίζοιτο μένειν, τῆς κατὰ τὴν οὐσίαν κοινωνίας προσιεμένης, ὡς εἰκός, καὶ τὴν τῆς μετοχῆς κοινωνίαν;

## Λόγος Δ'

**319** 1. Δεδωκέναι σοί τινας τῶν ἡμετέρων εἶπας τὰ οὐκ ἂν δοθέντα παρά τινος τῶν τῆς ἐκκλησιαστικῆς ἀντέχεσθαι δόξης ἐσπουδακότων. Ἐπυνθανόμεθα γὰρ εἰ τὸν Θεὸν Λόγον ὁμολογοῦσιν ἄνθρωπον γεγενῆσθαι· εἴ πως ἐπήγαγες 'ἐδίδοσαν'. Καὶ τίς ἂν ἔχων νοῦν ἄνθρωπον εἴποι τὸν Θεὸν γεγενῆσθαι Λόγον, ὡς ὑμεῖς φατε, εἰ μὴ ἄρα τὴν αὐτὴν ὑμῖν πρότερον νοσήσει ἄνοιαν; ἡμεῖς γὰρ εἰληφέναι μὲν τὸν Θεὸν Λόγον καὶ σφόδρα φαμέν. Γεγενῆσθαι δὲ ἄνθρωπον καθ' ὑμᾶς οὐκ ἄν ποτε εἰπεῖν ἀνασχοίμεθα.

2. "Ὁ πρὸ αἰώνων γέγονεν ἐπ' ἐσχάτων"· πάλιν ὥς τινων δεδωκότων καὶ τοῦτο λέγων, οὐδενὸς τῶν εὐσεβεῖν ἐσπουδακότων ταύτην ἑλομένων νοσῆσαι τὴν ἄνοιαν, ὥστε τὸν πρὸ αἰώνων εἰπεῖν ἐπ' ἐσχάτων γεγενῆσθαι.

**320** Οὐκοῦν τοῖς ὑμετέροις ἑπόμενοι νόμοις καὶ τὴν ὑπὸ τῆς σῆς ἀγχινοίας νομοθετουμένην ἀντιστροφήν, μᾶλλον δὲ καταστροφήν, δεξάμενοι, φέρε δὴ πάντα εἰς αὐτὸν συγχέωμεν, καὶ μηδεμία λοιπὸν ἔστω διάκρισις, μὴ Θεοῦ μορφῆς[1], μὴ δούλου μορφῆς[2]· μὴ ναοῦ ληφθέντος, μὴ τοῦ ἐνοικοῦντος ἐν τῷ ναῷ· μὴ τοῦ λυθέντος, μὴ τοῦ ἐγείραντος[3]· μὴ τοῦ τελειωθέντος ἐν πάθεσιν[4], μὴ τοῦ τελειώσαντος· μὴ τοῦ μνημονευθέντος[5], μὴ τοῦ μνημονεύσαντος· μὴ τοῦ ἐπισκε[1001]φθέντος, μὴ τοῦ ἐπισκεψαμένου[6]· μὴ τοῦ βραχύ τι παρ' Ἀγγέλους ἠλαττωμένου, μὴ τοῦ ἐλαττώσαντος· μὴ τοῦ δόξῃ καὶ τιμῇ ἐστεφανωμένου[7], μὴ τοῦ στεφανώσαντος· μὴ τοῦ καταστάντος ἐπὶ τὰ ἔργα τῶν χειρῶν, [μὴ] τοῦ καταστήσαντος· μὴ τοῦ λαβόντος αὐτὰ ἐν ὑποταγῇ, μὴ τοῦ δώσαντος τὴν ὑποταγήν.

3. Τὸν δὲ ἄνθρωπον περὶ οὗ ταῦτά φησιν ὁ Προφήτης σαφῶς ὁ μακάριος δηλοῖ Παῦλος τὸν ὑπὸ τοῦ Μονογενοῦς εἰλημμένον ἄνθρωπον εἶναι. Εἰρηκὼς γὰρ ὅτι «διεμαρτύρατο δὲ πού τις λέγων· τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ Υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, **321** καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ»[8] ἐπάγει· «τὸ[ν] δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον»[9]· σαφῶς δεικνὺς ὅτι Ἰησοῦς ἄνθρωπος, περὶ οὗ ὁ μακάριος Δαβίδ φησιν ἐκπληττόμενος, ὅτι ἡ θεία φύσις ἠνέσχετό τε αὐτοῦ ποιήσασθαι μνήμην καὶ δὴ καὶ ἐπισκέψεως ἀξιώσασα οἰκείας βραχὺ μέν τι παρὰ τοὺς Ἀγγέλους αὐτὸν ἐλαττῶσαι τῷ γεύσασθαι ποιῆσαι θανάτου· δόξῃ δὲ αὐτὸν καὶ τιμῇ πάσῃ περιβαλεῖν, ὥστε καὶ Κύριον αὐτὸν ἀποφῆναι τῶν ἁπάντων, διὰ τῆς πρὸς ἑαυτὸν συναφείας.

4. Αὐταρκῶς δὴ τὸ διάφορον τῶν φύσεων ἡμῖν ὑποδείκνυσιν διὰ τούτων, εἴγε τὸ μὲν ἐκπλήττεται ὡς δι' ὑπερβολὴν φιλανθρωπίας ἑλόμενον μνήμην τε καὶ ἐπίσκεψιν ποιήσασθαι τοῦ οὕτως εὐτελοῦς· τὸν δὲ μακαριστὸν ἡγεῖται ὡς τοιούτων ἠξιωμένον.

---

**1.** Πρβλ. Ἰω. 5,19. **2.** Ἰω. 14,10. **3.** Ἰω. 14,11. **4.** Πρβλ. Ἰω. 14,10. **5.** Ἰω. 14,23.

---

**1.** Πρβλ. Φιλιπ. 2,6. **2.** Πρβλ. Φιλιπ. 2,7. **3.** Πρβλ. Ρωμ. 4,24. **4.** Πρβλ. Ἑβρ. 2,10. **5.** Πρβλ. Β' Τιμ. 2,8. **6.** Πρβλ. Λουκ. 1,78.7,16. **7.** Πρβλ. Ἑβρ. 2,7. **8.** Ἑβρ. 2,6-8. **9.** Ἑβρ. 2,9.

Ἀλλὰ γὰρ οὕτως μὲν τήν τε διαίρεσιν τῶν φύσεων ποιεῖται, καὶ μὴν καὶ τὴν διαφορὰν τῆς τε τοῦ λαβόντος φύσεως καὶ τῆς τοῦ ληφθέντος ἡμῖν ὑποδείκνυσιν ἡ θεία Γραφή· φροντίζουσα δὲ τοῦ καὶ τὴν ἕνωσιν ἡμῖν ὑποδεικνύναι ἣ τῷ ληφθέντι προσγέγονεν, λέγει πολλάκις καθ' ἕνωσιν τὰ ἑκάτερα τῶν φύσεων ἰδιαζόντως προσόντα, ὡς ἂν τὴν πρὸς τὸν λαβόντα ἕνωσιν τοῦ ληφθέντος ἡμῖν παραδηλώσειεν, ὅσα τε τούτῳ ἐκ τῆς πρὸς ἐκεῖνον γέγονεν συναφείας.

# ΠΡΟΣ ΤΟΥΣ ΛΕΓΟΝΤΑΣ ΦΥΣΕΙ ΚΑΙ ΟΥ ΓΝΩΜῌ ΠΤΑΙΕΙΝ ΤΟΥΣ ΑΝΘΡΩΠΟΥΣ

**337** 1. [Λέγει] ἀπ' ἀρχῆς μὲν θνητὸν πεπλάσθαι τὸν Ἀδάμ, ἐνδείξει δὲ μόνον, ἵνα μισήσωμεν τὴν ἁμαρτίαν· σχηματίσαι [δὲ] οὕτως τὸν Θεὸν ὡς διὰ τὴν ἁμαρτίαν ἀντί τιμωρίας ἐπιτέθειται ὁ θάνατος[1].

2. Δύο ἀφέσεις ἁμαρτιῶν εἶναι [λέγει], τὴν μὲν τῶν πεπραγμένων, τὴν δέ... αὐτὴν τὴν ἀναμαρτησίαν ἤτοι τὸ μηκέτι ἁμαρτάνειν... ὅπερ... ἄφεσιν ἁμαρτιῶν τελείαν καὶ κυριωτάτην καὶ ἀναίρεσιν καλεῖ ἁμαρτίας παντελῆ... ἤρξατο μέν (φησίν) [ἡ τοιαύτη ἁμαρτιῶν ἄφεσις] ἐμφανίζεσθαι ἀπὸ τῆς κατὰ τὸν Δεσπότην Χριστὸν οἰκονομίας καὶ ἐν ἀῤῥαβῶνος ἡμῖν δίδοσθαι τάξει· δίδοται δὲ τελείως καὶ ἐπ' αὐτοῖς ἔργοις ἐν τῇ μετὰ τὴν Ἀνάστασιν ἀποκαταστάσει, ὑπὲρ ἧς ἵνα τύχωμεν καὶ ἡμεῖς καὶ τὰ βρέφη βαπτιζόμεθα... οὐκέτι (φησίν) μετὰ τὴν Ἀνάστασιν ἁμαρτησόμεθα.

1. Πρβλ. Γεν. 2,17.

# ΠΡΟΣ ΔΟΜΝΟΝ ΕΠΙΣΤΟΛΗ

**338 [1012]** Ἡ κατ' εὐδοκίαν τῶν φύσεων ἕνωσις μίαν ἀμφοτέρων τῷ τῆς ὁμωνυμίας λόγῳ ἐργάζεται τὴν προσηγορίαν, τὴν θέλησιν, τὴν ἐνέργειαν, τὴν αὐθεντίαν, τὴν δυναστείαν, τὴν δεσποτείαν, τὴν ἀξίαν, τὴν ἐξουσίαν, μηδενὶ τρόπῳ διαιρουμένην· ἑνὸς ἀμφοτέρων κατ' αὐτὴν προσώπου καὶ γενομένου καὶ λεγομένου... **[1013]** Καὶ τί δεῖ πολλὰ λέγειν;

**339** Ὁ τῆς κατ' οὐσίαν ἑνώσεως ἐπὶ μόνων τῶν ὁμοουσίων ἠλήθευται λόγος, ἐπὶ δὲ τῶν ἑτεροουσίων διέψευσται, συγχύσεως εἶναι καθαρὸς οὐ δυνάμενος· ὁ δὲ τῆς κατ' εὐδοκίαν ἑνώσεως τρόπος ἀσυγχύτους φυλάττων τὰς φύσεις, καὶ ἀδιαιρέτως ἓν ἀμφοτέρων τὸ πρόσωπον δείκνυσιν, καὶ μίαν τὴν θέλησιν καὶ μίαν τὴν ἐνέργειαν, μετὰ τῆς ἑπομένης τούτοις μίας αὐθεντίας καὶ δεσποτείας... Κατὰ γὰρ τὸν τῆς εὐδοκίας τρόπον τῷ Θεῷ Λόγῳ συναφθείς, ὡς ἔφαμεν, ἐξ αὐτῆς τῆς μήτρας ὁ τεχθεὶς ἐκ τῆς Παρθένου ναὸς μεμένηκεν ἀδιαίρετος, τὴν ἐν πᾶσιν αὐτοῦ ταυτοβουλίαν καὶ ταυτουργίαν ἐσχηκώς· ὧν οὐδέν ἐστιν συναφέστερον.

# ΠΡΟΣ ΤΑΣ ΚΑΤΑ ΧΡΙΣΤΙΑΝΩΝ ΚΑΤΗΓΟΡΙΑΣ ΙΟΥΛΙΑΝΟΥ ΒΑΣΙΛΕΩΣ

## Α'*

**70 [716]** 1. Τοῦ Ἀποστόλου εἰπόντος· «Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον, οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν»[1], ἀντεπερωτᾷ Ἰουλιανὸς καί, Τοῦ χάριν, φησίν, πολὺ μὲν εἰς τοὺς Ἰουδαίους ἔπεμπε τὸ προφητικὸν πνεῦμα καὶ τὸν Μωυσέα καὶ τὸ χρῖσμα καὶ τοὺς Προφήτας καὶ τὸν νόμον καὶ τὰ παράδοξα τεράστια τῶν μύθων — ἀκούεις γὰρ αὐτῶν βοώντων· «Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος»[2] — ἐπὶ τέλους δὲ καὶ τὸν Ἰησοῦν ἔπεμψεν ἐκείνοις; Πρὸς ὃ ῥητέον ὅτι ἐν πρώτοις μὲν ἐκείνοις ταῦθ' ὡς εὐσεβεστέροις ἀπέστειλεν, ἐν **72** δευτέροις δὲ τὰ αὐτὰ ταῦτα καὶ πᾶσιν. Εἰ δὲ μὴ παρεδέξαντο πάντες τότε, ἀλλ' ὕστερον παρεδέξαντο· διεσαλεύθησαν γὰρ πρότερον ὑπὸ τῶν Προφητῶν καὶ τῶν προλαβόντων τεραστίων, ὑπέπεσον δὲ παντελῶς ἐπὶ τοῦ Χριστοῦ, ἡττηθέντας ὑμῶν θεασάμενοι τοὺς θεούς, καὶ πλάσματα καὶ μύθους ὄντως εὑρόντες τὰ λεγόμενα περὶ αὐτῶν, καὶ μηδὲν πλέον. Ἐπειδὴ γὰρ ἀμεταθέτως εἶχον ἀπὸ τῆς τῶν εἰδώλων ἀπάτης, πᾶσιν ἀποφράττοντες τὰς ἀκοὰς καὶ ὡς σωτῆρσιν ἐκείνοις πειθόμενοι, διὰ τοῦτο τοῖς πολεμίοις συνεχώρησεν ὁ Θεὸς πάντας πᾶσιν ἀναμι[717]χθῆναι, ἵνα τὸν ἑαυτῶν ἕκαστοι θεάσωνται Θεὸν μήτε ἑαυτῷ μήτε ἐκείνοις βοηθῆσαι δυνάμενον καὶ γνοῖεν ὡς οὐκ ἔστιν ἐν αὐτοῖς σωτηρίας ἐλπίς. Ὑφ' ἕνα ἄνδρα τοσούτων γενομένων ἐθνῶν καὶ θεῶν τῶν ἀρξάντων ποτέ, πάλαι μὲν ὑπὸ Μακεδόσι μόνοις γεγενημένων εἶτ' αὖθις ὑπὸ Ῥωμαίοις, καὶ ζητούντων Θεόν, ᾧπερ ἀσφαλῶς καταπιστεύσειαν ἑαυτούς, ἐν τούτοις ὤφθη Χριστὸς καὶ δεομένοις ἐπεφάνη κατὰ καιρόν, πρότερον μὲν οὐ κατὰ ἔθνη, ἀλλὰ κατὰ

---

* Κατὰ τὴν ἔκδοσιν A. Guida, Teodoro di Mopsuestia. Replica a Giuliano Imperatore (Biblioteca Patristica 24), Firenze 1994, σσ. 70 - 125 (J. - P. Migne, PG 66, 716 - 728).

**1.** Ρωμ. 3,29. **2.** Ψαλ. 77,25.

ἄνδρα ἐκλεγόμενος ἀπὸ τῶν ἐθνῶν οὓς ἀνεύρισκε πειθομένους, νῦν δὲ κατὰ ἔθνη. Οὐ γὰρ βιάζεσθαι βούλεται τὸ ἐθέλειν ἡμῶν ὁ Θεός, ἵν' ὅπερ θέλομεν μὴ ἐθέλωμεν· τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ μεταποιεῖν τὴν φύσιν ἡμῶν.

Καὶ τίνος χάριν ποτὲ μὲν τούτῳ, ποτὲ δὲ ἐκείνῳ τῷ ἔθνει τὰς καθολικωτέρας τῆς οἰκουμένης ἐξουσίας παρεδίδου ὁ Θεός, ὡς τοῖς τῶν κατὰ καιρὸν κρατούντων νόμοις καὶ ἡμᾶς πάντας κεχρῆσθαι τοὺς ὑπηκόους; Καὶ δι' ἄλλας μὲν πολλὰς αἰτίας ταύτας συνεχώρει τὰς μεταβολὰς γίνεσθαι καὶ διὰ ταύτην δὲ **74** πρώτην, ἵνα, ἀποτυγχάνοντες τοῦ νομίζειν ἀηττήτῳ κεχρῆσθαι Θεῷ ἔλθωσιν ἐξ ἀνάγκης ἐπὶ τὸ ζητεῖν τὸν ὄντως Θεόν.

2. Ἔθυε μὲν γὰρ Ἀβραάμ, ὥσπερ καὶ ἡμεῖς, ἀεὶ καὶ συνεχῶς. Ἐχρῆτο δὲ μαντικῇ τῇ τῶν διαττόντων ἄστρων· Ἑλληνικὸν ἴσως καὶ τοῦτο. Οἰωνίζετο δὲ μειζόνως, ἀλλὰ καὶ τὸν ἐπίτροπον τῆς οἰκίας εἶχε συμβολικόν.... Ὅπως δὲ μή τις ὑπολάβῃ βίαιον εἶναι τὴν τοιαύτην ἐξήγησιν, ἐφεξῆς ὅσα πρόσκειται παραθεὶς αὐτῷ πιστώσομαι. Γέγραπται γὰρ ἑξῆς· «Εἶπε δὲ πρὸς αὐτόν· Ἐγώ εἰμι ὁ Θεὸς ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι αὐτήν. Εἶπε δέ· Δέσποτα κύριε, κατὰ τί γνώσομαι ὅτι κληρονομήσω αὐτήν; εἶπε δὲ αὐτῷ· Λαβέ μοι δάμαλιν τριετίζουσαν καὶ αἶγα τριετίζουσαν καὶ κριὸν τριετίζοντα καὶ τρυγόνα καὶ περιστεράν. Ἔλαβε δὲ αὐτῷ πάντα ταῦτα καὶ διεῖλεν αὐτὰ μέσα καὶ ἔθηκεν αὐτὰ ἀντιπρόσωπα ἀλλήλοις· τὰ δὲ ὄρνεα οὐ διεῖλε. Κατέβη δὲ ὄρνεα ἐπὶ τὰ διχοτομήματα καὶ συνεκάθισεν αὐτοῖς Ἀβραάμ»[1]. Τὴν τοῦ φανέντος Ἀγγέλου πρόῤῥησιν ἤτοι Θεοῦ διὰ τῆς οἰωνιστικῆς ὁρᾶτε κρατυνομένην, οὐχ, ὥσπερ ὑμεῖς, ἐκ παρέργου, μετὰ θυσιῶν δὲ τῆς μαντείας ἐπιτελουμένης. ...τῇ τῶν οἰωνῶν ἐπιπτήσει βεβαίαν ἔδειξε τὴν ἐπαγγελίαν. **[PG 76, 1049A - 1053A]**

**76** Κατηγορία δὲ ἀληθῶς ἐστι καὶ συκοφαντία τοῦ Ἀβραὰμ τὸ οἴεσθαι μαντικῇ χρῆσθαι πρὸς βεβαίωσιν τῶν λεγομένων ὑπὸ Θεοῦ. Ἡ μὲν γὰρ οἰωνιστικὴ ἀπὸ μόνης τῆς τῶν ὀρνέων κατανοήσεως γίνεται· ἐνταῦθα δὲ πάντα μέμικται, ἵνα μὴ δόξῃ κατὰ ταύτην

---

**1.** Γεν. 15,7 - 11.



ἢ κατ' ἐκείνην τὴν παρατήρησιν γίνεσθαι τὸ δεικνύμενον. Οὐ μὴν οὐδὲ θυσίαν ποιησάμενος φαίνεται ἀλλὰ διχοτομήσας[1], εἰ μή τις καὶ τοὺς κατ' ἀγορὰν κρεοπωλοῦντας θυσίας ποιεῖν ἀποφήνειε καὶ πάντας τοὺς θύοντας ‹μαντικῇ χρῆσθαι›.

Εἰπόντι μὲν οὖν ὅτι 'Παιδοποιήσεις', ἐπίστευσε τῷ Θεῷ, καὶ ὡς ἄπειρον ἔσται τὸ γένος αὐτοῦ καὶ κληρονομήσει τὴν γῆν[2], τὸ δὲ πότε καὶ πῶς ἐζήτει, οὐ περὶ τῶν ῥηθέντων ἀμφισβητῶν, ἀλλὰ περὶ τῶν μὴ ῥηθέντων[3]· ἑώρα γὰρ τὸ γένος αὐτοῦ ἐξ ἑνὸς λαμβάνον ἀρχὴν καὶ πλείστων ἐτῶν εἰς τὸ πληθυνθῆναι δεόμενον, ὥστε οἰκισθῆναι ὑπ' αὐτῶν τὴν τῆς ἐπαγγελίας γῆν[4]. Πρὸς τοῦτο ὁ Θεὸς τρία γένη τῶν εἰς καταδούλωσιν ἡμῖν καὶ κατάχρησιν καὶ βρῶσιν ἐκδεδομένων ζῴων παράγειν ἐκέλευσεν, τριετίζουσαν δάμαλιν καὶ κριὸν καὶ αἶγα, καὶ διχοτομηθῆναι, καὶ τρυγόνα **78** καὶ περιστερὰν ἄτμητον, καὶ ἐκθεῖναι πάντα, κατελθεῖν τὰ ὄρνεα ἐπὶ τὰ διχοτομήματα, συγκαθίσαι αὐτοῖς θεασάμενον τὸν Ἀβραάμ[5], δηλῶν τὴν τῶν τριῶν γενεῶν αὐτῶν ὁμοίως καταδούλωσιν καὶ τιμωρίαν, καὶ τὴν ἐν τῇ ἐρήμῳ διατριβὴν ὡς αἱ τρυγόνες, καὶ τὴν αὐτῶν ἐπάνοδον καὶ συνοίκησιν εἰς τὰ οἰκεῖα ὡς αἱ περιστεραί, καὶ τὴν τῶν ἐναντίων καταδρομὴν ὥσπερ τὴν τῶν ὀρνέων, καὶ τὴν ἐκ πάντων τούτων φυλακήν, τοῦ Θεοῦ ἀποδιώκοντος ῥᾳδίως ὥσπερ τὰ ὄρνεα ὁ Ἀβραάμ, ἵνα μὴ τούτοις λυμήνωνται.

Οὐδὲν τούτων οὔτε συμβολικῶς οὔτε κατ' οἰωνιστικὴν ἐπιστάμενος τέχνην, καὶ τοῦτο δείκνυσιν ἡ θεία Γραφή· ὡς γὰρ μὴ γνόντα διδάσκει λέγουσα· «Περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἔπεσε τῷ Ἀβραάμ»[6], καὶ τὰ ἑξῆς. Οὐ τούτοις οὖν ἐπίστευσεν οὐδὲ διὰ τούτων τῷ Θεῷ ὁ Ἀβραάμ, ὥσπερ οἱ διὰ τούτων μαντευόμενοι, ἀλλὰ μᾶλλον διὰ τὸν εἰρηκότα Θεὸν τούτοις ἐπίστευσεν· ἐπιτρέπεται γὰρ αὐτὸς τοῦτο ποιῆσαι. Οὐδεὶς δὲ ἢ συμβολικὸς ἢ οἰωνιστικῇ χρώμενος ἐξ ὧν αὐτός τι ποιεῖ μαντεύεται, ἀλλ' ἐκ τῶν ἔξωθεν συμβαινόντων· οὔτε μὴν ἐκ τῆς περὶ αὐτὰ κατανοήσεως ἔμαθεν, ὥσπερ οἱ λεγόμενοι θύται. Ὥστε πανταχόθεν καθαρεύειν τούτων τὸν Ἀβραάμ· ὁ μήτε κατὰ συμβολικὴν τέχνην μήτε κατ'

---

**1.** Πρβλ. Γεν. 15,11. **2.** Πρβλ. Γεν. 15,5-7. **3.** Πρβλ. Γεν. 15,8. **4.** Πρβλ. Ἑβρ. 11,9. **5.** Πρβλ. Γεν. 15,9-11. **6.** Γεν. 15,12.

οἰωνιστικὴν μήτε κατὰ θυτικὴν ἢ ὅλως μαντικὴν πιστεύσας τῷ Θεῷ, ἀλλὰ τοὐναντίον διὰ τὸν Θεὸν τούτοις, ὡς, χωρὶς τοῦ εἰπεῖν τὸν Θεόν, μήτε σημαινόντων τι μήτε δηλούντων τἀληθές.

**80 [717]** 3. Οὐδὲν καινόν, ἀσεβέστατε Ἰουλιανέ, εἰ καὶ γινώσκεται ὑπὸ τῶν δαιμόνων καὶ ὁμολογεῖται Θεὸς[1] καὶ πειράζεται ὑπὸ τοῦ ἄρχοντος τῶν δαιμόνων μὴ ὁμολογοῦντος τὴν αὐτοῦ βασιλείαν[2]. Οὐ γὰρ κατὰ τὸν αὐτὸν χρόνον, ἀλλὰ πρότερον μὲν ἀγωνίζεται **[720]** ἀγνοῶν, ἡττηθεὶς δὲ ὕστερον γνωρίζει καὶ ὁμολογεῖ τὴν βασιλείαν αὐτοῦ λέγων· «Οἴδαμέν σε τίς εἶ· σὺ εἶ ὁ ἅγιος τοῦ Ἰσραήλ»[3]. Οὐ γὰρ πρὸ τοῦ Βαπτίσματος ταῦτα ὁμολογεῖ, ἀλλὰ μετὰ τὸ Βάπτισμα καὶ τὸ πειρασθῆναι καὶ κατελθεῖν ἐκ τῆς ἐρήμου νικήσαντα τὸν διάβολον κατὰ τὴν σάρκα, καθ' ἣν καὶ ἐπείραζε αὐτόν. Οὐ γὰρ εἰδὼς τὸν Θεὸν Λόγον ἐπείρασεν ἄν· πᾶσι γὰρ κατ' οὐσίαν ὁ Θεός ἐστιν ἄγνωστος, ἀλλὰ κατὰ τὴν σάρκα, καθ' ἣν ἀληθῶς καὶ ἐπείνασε καὶ ἐπειράσθη.

Ἀλλὰ Μωσῆς, φησίν, ἡμέρας τεσσαράκοντα νηστεύσας ἔλαβε τὸν νόμον[4]. Ἠλίας δὲ τοσαύτας νηστεύσας θείων αὐτοψιῶν ἔτυχεν[5]· Ἰησοῦς δὲ τί μετὰ τὴν τοσαύτην νηστείαν ἔλαβεν; Οὐχ ἴσον τὸ λαβεῖν νόμον καὶ θεοπτίας ἀξιωθῆναι τῷ λαβεῖν τὸ Εὐαγγέλιον καὶ κηρῦξαι τὴν τῶν οὐρανῶν βασιλείαν[6]· τοσοῦτον δὲ διάφορον, ὅσον οὐρανὸς διαφέρει τῆς γῆς καὶ τὸ ἀθάνατον τοῦ θνητοῦ καὶ τὸ ἀΐδιον τοῦ προσκαίρου. Τὸ δέ «Ἐπὶ παντὶ ῥήματι Θεοῦ»[7] οὐ περὶ διδασκαλίας λέγει, ἀλλὰ πρὸς τὸν πορισμὸν τῆς τροφῆς· **82** πρὸς γὰρ τὴν ἐκείνου πρόκλησιν ἄτοπον οὖσαν, τό «Εἰπὲ ἵνα οἱ λίθοι ἄρτοι γένωνται»[8], ὡς παντὶ τρόπῳ ὑπὸ ἄρτου διατραφῆναι ὀφείλοντος, τὰ ἐν τῇ ἐρήμῳ γενόμενα ὑπομιμνήσκων αὐτὸν ἔλεγεν ὡς οὐ χρεία ἄρτων τῷ Θεῷ· καὶ ἄνευ γὰρ ἄρτων Θεὸς ἐν ἐρήμῳ διέθρεψε τὸν Ἰσραὴλ[9] καὶ αὐτὸν διαθρέψαι δύναται καθὼς ἂν βούληται, «ῥῆμα» λέγων τὴν ποιητικὴν βούλησιν τοῦ Θεοῦ. Μωσῆς δὲ καὶ Ἠλίας νηστεύσαντες οὐ συνεχωρήθησαν πειρα-

**1.** Πρβλ. Λουκ. 4,34,41. **2.** Πρβλ. Ματθ. 4,1-11. Λουκ. 4,1-13. **3.** Μάρκ. 1,24. Λουκ. 4,34. **4.** Πρβλ. Ἐξ. 34,28. **5.** Πρβλ. Γ' Βασ. 19,8,11-13. **6.** Πρβλ. Ματθ. 4,17,23. **7.** Ματθ. 4,4. **8.** Ματθ. 4,3. Πρβλ. Λουκ. 4,3. **9.** Πρβλ. Δευτ. 8,3.



σθῆναι ὑπὸ τοῦ διαβόλου, πρὸς ἕτερα σπεύδοντες μικρότερα, ὁ δὲ Σωτὴρ ἀναγκαίως συνεχωρήθη, πρὸς τὴν κατάλυσιν τοῦ θανάτου πολιτευόμενος καὶ λύσιν τῆς προτέρας ἀποφάσεως. Πρὸς γὰρ τὰς νομοθεσίας τοῦ Θεοῦ σπεύδει καὶ ὁ διάβολος ἐκτρέπειν καὶ ἀπατᾶν τοὺς ἀνθρώπους ἐν οἷς ἂν ἔνεστι τὸ ἐφ' ἡμῖν, τὸ δὲ ἀνελθεῖν καὶ λαβεῖν τὸν νόμον ὁ διάβολος ἀνελεῖν οὐχ ἠδύνατο· τοῦτο γὰρ ἦν ἐπὶ τῷ Θεῷ, οὐχ ἐπὶ τῷ Μωσεῖ. Ἃ δέ ἐστιν ἐφ' ἡμῖν ποιῆσαι καὶ μὴ ποιῆσαι, ἐν τούτοις καὶ ἀπατᾶν συγχωρεῖται, ὅπερ καὶ ἐπὶ τοῦ Ἀδὰμ ἐποίησε· τὸ γὰρ ἅψασθαι τοῦ ξύλου[1] καὶ μή, τοῦ ἐφ' ἡμῖν καὶ αὐθαιρέτου. Ἐπεὶ οὖν διὰ πολιτείας καὶ τοῦ ἀναμαρτήτου ἔδει καταλῦσαι τὴν τοῦ θανάτου ἀπόφασιν, πάσχοντα ὑπὲρ ἁμαρτωλῶν αὐτὸν ἀναμαρτήτον ὄντα, οὐκ ἐδείκνυτο δὲ ἀναμάρτητος ὁ μήπω κατὰ πάντα πολιτευσάμενος καὶ ἐν πᾶσιν ἀγωνισάμενος πρὸς τὴν ἁμαρτίαν, διὰ τοῦτο ἐξ ἀνάγκης συγχωρεῖται πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, ὡς βούλεται αὐτὸς ὁ διάβολος, ἵνα καθαρῶς ἀναμάρτητος ὀφθῇ, οὐ τῷ μὴ πειρασθῆναι, ἀλλὰ τῷ φυ**[721]**λάξασθαι πειρασθείς.

Τί δὲ θαυμάζεις ὅτι μὴ ὄντος ὄρους ὑψηλοῦ ἐν τῇ ἐρήμῳ λέγεται ὁ διάβολος ἀναγαγεῖν αὐτὸν εἰς ὄρος **84** ὑψηλὸν λίαν[2]. «Ἐν στιγμῇ γὰρ χρόνου»[3] λέγει πεποιηκέναι, σαφῶς δεικνὺς φαντασίαν ὄρους τὸν διάβολον πεποιηκέναι καὶ οἰκουμένην βασιλευομένην πρὸς ἄνθρωπον ὁρᾶν οὕτω δυνάμενον. Οὐ γὰρ καθὸ Θεὸς ἦν ἢ ἐπείραζεν ὁ διάβολος ἢ ἐπειράζετο· τοῦτο γὰρ οὐκ ἦν πειρασθῆναι ἀλλ' ἀπατῆσαι μᾶλλον.

Ἀλλὰ πῶς, φησίν, εἰς τὸ πτερύγιον τοῦ ἱεροῦ τὸν Κύριον ἀνήγαγεν ὁ διάβολος[4] ὄντα ἐν τῇ ἐρήμῳ[5]; Διότι οὐκ ἐπ' ἀπολείψει τῆς ἐρήμου εἰς τὸ πτερύγιον ἀνήγετο, ὅθεν τῷ ἐν ὀλίγῳ ἀπολειφθῆναι καὶ οὐκ ἐν πολλῷ, καὶ ὡς ἐκεῖσε πάλιν ἐπανελευσόμενος, οὐ λέγεται ἐξεληλυθέναι ἐκ τῆς ἐρήμου. Ὥσπερ γάρ τις ἐν πόλει ἢ οἰκίᾳ γενόμενος, ὅσας ἂν ἡμέρας ἢ μῆνας ἢ ἐνιαυτοὺς ποιήσῃ ἐν τῇ οἰκίᾳ ἢ τῇ πόλει, ἐκεῖσε λέγεται ποιῆσαι, κἂν ἔξω ποτὲ γένηται οὐκ ἐπ' ἀπολείψει τελείᾳ τῆς πόλεως ἢ τῆς οἰκίας, οὕτω καὶ ὁ Χριστὸς

**1.** Πρβλ. Γεν. 3,3. **2.** Πρβλ. Ματθ. 4,8. **3.** Λουκ. 4,5. **4.** Πρβλ. Ματθ. 4,5. Λουκ. 4,9. **5.** Πρβλ. Μάρκ. 1,13. Λουκ. 4,1-2.

ἀναχθεὶς εἰς τὴν ἔρημον πειρασθῆναι, κἂν ἔξω τῆς ἐρήμου πειραζόμενος ἐγένετο οὐκ ἐπ' ἀπολείψει τῆς ἐρήμου, εἰκότως «ἐν τῇ ἐρήμῳ» λέγεται εἶναι «τεσσαράκοντα ἡμέρας πειραζόμενος»[1]. Καὶ οὐδὲ εἶπεν ὅτι τεσσαράκοντα ἡμέρας ἐποίησε μὴ ἐξεληλυθὼς τῆς ἐρήμου. Τὸ δέ «Οὐκ ἐκπειράσεις κύριον τὸν Θεόν σου»[2] οὐ λέγει ὅτι 'Ἐμέ', εἰ καὶ Θεὸς ἦν· οὐ γὰρ ὡς Θεὸν ἐπείραζεν ὁ διάβολος, οὐδὲ ὡς Θεὸς πειραζόμενος ἀπεκρίνατο, ἀλλ' ὡς ἄνθρωπος ἀληθῶς πειραζόμενος τὰ τῶν ἀνθρώπων ἀπεκρίνατο, τὸ μὴ ἐκπειρᾶσαι τὸν Θεόν· ὁ γὰρ ἐκπειράζων τὸν Θεὸν φαίνεται μὴ πιστεύων αὐτῷ, ἀλλὰ τυχὸν ζητῶν πιστεῦσαι. Διήλεγξεν οὖν αὐτοῦ τὴν κακίαν κύκλῳ καὶ ἐκ περιόδου εἰς τὸ ἀπιστῆσαι αὐτὸν τῷ Θεῷ προσάγοντος διὰ τοῦ **86** δοκεῖν πάνυ πιστεύειν αὐτῷ. Κἀκεῖνο δὲ λεκτέον, ὅτι ἀπὸ τῆς πειραζομένης ἀνθρωπότητος ἔλεγε τό «Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις»[3], οὐκ ἐξαιρῶν τῆς προσκυνήσεως τοῦ Πατρὸς τὸν Θεὸν Λόγον καὶ τὸ Ἅγιον Πνεῦμα.

4. «Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα. Καὶ ἐποίησαν οὕτως καὶ ἀνέκλιναν ἅπαντας»[4].

Ὁ μὲν Μάρκος «ἀνὰ ē καὶ ἀνὰ ν̄»[5] φησὶν ἀνακλιθῆναι ὁ δὲ Λουκᾶς «ὡσεὶ ἀνὰ πεντήκοντα»[6], καὶ λέγει τινὰ εἰς τὸν τόπον θεωρίαν ὁ Ὠριγένης, ἣν ζήτει ἐν τῷ κατὰ Μάρκον. Ἰστέον δὲ ὅτι ὁ ἀντιγράφων πρὸς Ἰουλιανὸν καὶ ἕτεροι τῶν ἐξηγητῶν τὸ μέν «ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα» ἐν τῷ Λουκᾷ ἀναγινώσκουσι, τὸ δέ «ὡσεὶ ἀνὰ πεντήκοντα» τῷ Μάρκῳ ἀνατιθέασι. Σαφὲς δὲ ἔσται καὶ ἐκ τῶν παρατεθησομένων ἑρμηνειῶν.

Τοῦ γὰρ Παραβάτου διαφωνίαν ἐγκαλέσαντος τοῖς εὐαγγελισταῖς, ὡς τοῦ μέν «ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα» εἰπόντος, τοῦ δέ «ὡς ἀνὰ πεντήκοντα» μόνον, ἡ ἀντίρρησις μάτην αἰτιᾶσθαί φησιν αὐτὸν εἰ ὁ μὲν ἀνακλιθῆναι εἶπεν «ἀνὰ πεντήκοντα», οἷον ὁ Μάρκος, ὁ δέ «κατὰ ἑκατὸν καὶ πεντήκοντα», ὥσπερ ὁ Λουκᾶς. Εἰ γὰρ καὶ ὑπὲρ τῶν αὐτῶν λέγουσι καὶ μὴ ὑπὲρ ἄλλων καὶ ἄλλων

**1.** Μάρκ. 1,13. Λουκ. 4,1-2. **2.** Ματθ. 4,7. Λουκ. 4,12. Δευτ. 6,16. **3.** Ματθ. 4,10. Λουκ. 4,8. **4.** Λουκ. 9,14-15. **5.** Μάρκ. 6,40. **6.** Λουκ. 9,14.



Μάρκος καὶ Λουκᾶς, οὐδ' οὕτως ἐναντιοῦνται· εἰ μὲν γὰρ μὴ εἶχε «καὶ κατὰ πεντήκοντα», τυχόν τι εἶχε λέγειν ἐχόμενον ζητήσεως· εἰ **88** δέ «κατὰ ἑκατὸν καὶ κατὰ πεντήκοντα», καὶ ὁ μὲν τὰ ἀμφότερα ἔφη πρὸς ἀκρίβειαν, ὁ δὲ ἀπὸ τοῦ ἑνὸς συντομώτερον ταῦτα διεξιών, τί τοῦτο διάφωνον; Ἄλλως δὲ καὶ ἐμφήνας αὐτὸ τοῦτο ὡς μὴ πρὸς ἀκρίβειαν ταῦτα λέγειν ἔγνωκεν, οὐκ ἁπλῶς λέγων «ἀνὰ πεντήκοντα», ἀλλ' «ὡς ἀνὰ πεντήκοντα». Τί οὖν αὐτὸν ἔτι τὴν ἀκρίβειαν ἀπαιτεῖς, τὸν τῆς ἀκριβείας ταύτης ὑπεριδόντα δι' ὃν δήποτε λογισμόν; Τυχὸν γὰρ ἀπὸ τοῦ πλείονος ὠνόμασεν αὐτούς, διὰ τὸ κατὰ τοσούτους μᾶλλον κατακεκλίσθαι ἢ κατὰ ἑκατόν, δυναμένων καὶ οὕτως· ἄρτων γὰρ ἦν διάθρυψις οὐκ ἀναγκαζομένων ὑφ' ἓν συνῆχθαι ὡς ἐπὶ πίνακος ἑνός, ἀλλὰ καθεξῆς ἕκαστον λαμβάνειν τὸ κλάσμα τοῦ ἄρτου καὶ τὸ ἐπιλαχὸν ὀψάριον.

5. Οὐχ ὥσπερ τὴν ἐγγαστρίμυθον λέγεται τὴν τοῦ Σαμουὴλ ψυχὴν ἀναγαγεῖν[1], οὕτω καὶ τὴν τοῦ Μωσέως ψυχὴν τὸν Ἰησοῦν φαμεν οὐ κατὰ ἀλήθειαν ἀλλ' ἐν φαντασίᾳ τινὶ τοῦ ἐκείνου σχήματος, ἀλλὰ κατὰ ἀλήθειαν αὐτὴν ἐκείνην ἐν τῷ ἐκείνου σχήματι τοῦ σώματος παραγενέσθαι καὶ ὀφθῆναι τοῖς μαθηταῖς. ‹Καὶ ταῦτα ἐκ τῶν πρὸς Ἰουλιανόν›.

**90** Τοῦ οὐχ ἧττον ἀνοήτου ἢ ἀσεβοῦς Ἰουλιανοῦ φάσκοντος· Πόθεν ἔγνωσαν Μωυσέα καὶ Ἠλίαν[2] εἶναι, μὴ εἰδότες αὐτοὺς μηδὲ γραφὰς αὐτῶν ἔχοντες;

Ταῦτ' ἐχρῆν ὅλως γράφειν καὶ ἐπιζητεῖν· συμπαρόντος αὐτοῖς τοῦ Ἰησοῦ καὶ πάντα διδάσκοντος ἢ εὐθὺς ἢ ἐς ὕστερον. Ἄλλως δὲ καὶ ἐπὶ τούτῳ λαβὼν αὐτοὺς εἰς τὸ ὄρος καὶ μεταμορφωθείς[3], οὐκ ἂν αὐτοῖς ἐποίησε φανερὸν ἢ δι' ἑαυτοῦ ἢ δι' ἀγγέλου ἢ διάγνωσίν τινα αὐτοῖς τούτων ἐκ Πνεύματος Ἁγίου ἐγγενέσθαι παρασκευάσαντος ἢ ὁπωσοῦν ἤθελεν;

6. Πρὸς ταῦτα ὁ τρισκατάρατος Ἰουλιανὸς ἀντιτίθησιν οὕτως· Εἰ ἅπαντές σοι πεισθεῖεν, Ἰησοῦ, τίς ὁ ὠνη**92**σόμενος; ἐπαινεῖ ταύτην τίς τὴν διδασκαλίαν, ἧς κρατυνθείσης οὐκ ἔθνος οὐ πόλις οὐκ οἰκία μία συστήσεται; πῶς γὰρ πραθέντων ἁπάντων οἶκος ἔτι

**1.** Πρβλ. Α' Βασ. 28,7 ἑξ. **2.** Πρβλ. Ματθ. 17,3. Μάρκ. 9,4. Λουκ. 9,30. **3.** Πρβλ. Ματθ. 17,1-2. Μάρκ. 9,2.

εἶναι δύναται; Τὸ δ' ὅτι πάντων ὁμοῦ τῶν ἐν τῇ πόλει πιπρασκόντων οὐδ' ἂν εὑρηθείη ὠνητής, φανερόν ἐστι καὶ σιωπώμενον.

‹Πρὸς ἃ ὁ ἀντιγράφων φησίν·› Ἤιδει μὴ πάντας πεισθησομένους, αἱ παραινέσεις δὲ πρὸς πάντας λέγονται κἂν μὴ πάντες ποιῶσι. Σὺ δὲ διὰ μιᾶς ταύτης τῆς ἀντιθέσεως πάσας ἀνεῖλες τὰς περὶ τεχνῶν καὶ ἐπιστημῶν καὶ πάσης ἀρετῆς παραινέσεις διὰ τὸ μὴ πάντας πάντα μεταχειρίζεσθαι. Εἰ νόμος γὰρ προτρέπει φιλοσοφεῖν ἢ ῥητορεύειν ἢ ἰατρεύειν ἢ γεωργεῖν ἢ πλεῖν, χρήσεταί τις τῷ καινῷ τούτῳ συλλογισμῷ· 'Εἰ γὰρ ἅπαντές σοι πεισθεῖεν, ὦ νομοθέτα, τίς ὁ γεωργήσων ἢ οἰκοδομήσων καὶ τἆλλα ποιήσων;' Καὶ ὅτι 'Ταύτης τῆς νομοθεσίας κρατυνθείσης οὐκ ἔθνος οὐ πόλις οὐκ οἰκία μία συστήσεται'. Ἀλλ' ὁ μὲν νομοθέτης προτρέπεται πάντας ἐπὶ τὰ τελειότερα, οὐχ ὡς πάντων δὲ φιλοσοφησόντων, ἀλλά τινων· τοιαύτη γὰρ ἡ παραίνεσις· παραινεῖ γάρ τις τῷ δυναμένῳ καὶ πεισθῆναι καὶ μὴ πεισθῆναι· κἂν τε γὰρ πεισθῶσιν οἱ πάντες κἂν τε μὴ πεισθῶσιν, ἡ παραίνεσις ἔχει τὸ δυνατόν. Εἰ δὲ σὺ τὴν φύσιν ἡμῶν ὑπερβαίνων πάντας ὑπακούειν αὐτῷ δίδως, οὐδ' οὕτως ἐλέγχεις τὴν παραγγελίαν ὡς ἀδύνατον· πάντων γὰρ πειθομένων τῷ Χριστῷ πωλῆσαι τὰ ὄντα ἕνεκεν τοῦ ἐν οὐρανοῖς θησαυροῦ[1], πάντες πωλοῦσι, κἂν μηδεὶς ᾖ ὁ ὠνούμενος, τῇ παραγγελίᾳ τὸ προσῆκον ποιήσαντες, καὶ τὸ μὴ δυνηθῆναι πωλῆσαι οὐκ ἀναιρεῖ τὴν ὑπακοὴν τῆς παραγγελίας, ἀλλὰ βεβαιοῖ. Οὐκοῦν ὃ μὲν ἦν τοῦ νομοθέτου πεποίηκεν ὁ Χριστός, πείσας τοὺς ὑπηκόους **94** πάντας πωλῆσαι αὐτῶν τὰ ὑπάρχοντα, ὃ δὲ ἦν τῶν ὑπηκόων αὐτοὶ ἐποίησαν τῇ προθέσει, καὶ οὕτως μάλιστα ἡ γνώμη τοῦ νομοθέτου πληροῦται, ὅταν, πάντων πεισθέντων, μηδεὶς εὑρηθῇ ὁ ὠνησόμενος. Καὶ ἐπεὶ βούλεται πιπράσκεσθαι τὰ ὑπάρχοντα καὶ δίδοσθαι πτωχοῖς[2] διὰ τὸ οὕτω κοινὰ γίνεσθαι, ὅταν πάντες βούλωνται πιπράσκεσθαι τὰ ὑπάρχοντα διὰ τοὺς πένητας μηδεὶς δὲ ᾖ ὁ ὠνησόμενος διὰ τὸ πάντας πιπράσκειν ἐθέλειν, καὶ οὕτω κοινὰ γίνεται ταῦτα, διδόντων τῶν ἐχόντων ἅπερ ἐχρῆν δοῦναι τοῖς πένησι πιπράσκοντας τὰ ὑπάρχοντα, καὶ οὕτως ἡ παραίνεσις εἰς ἄκρον λαμβάνει τὴν ἔκβασιν. Τίς οὖν γελοῖος, ὁ κατηγορῶν ἢ ὁ

**1.** Πρβλ. Λουκ. 12,33. 18,22. **2.** Πρβλ. Λουκ. 18,22.



πρὸς αὐτὴν τὴν φύσιν [ἡμῶν] νομοθετῶν; Ἄλλως γὰρ ἀνθρώποις τις νομοθετεῖ καὶ ἄλλως Ἀγγέλοις. Τί δὲ βέλτιον καὶ τελειότερον, τὰς δεκάτας διδόναι Θεῷ ἢ πάντα; Ἄλλο γὰρ πολιτικῇ πολιτείᾳ νομοθετεῖ καὶ ἄλλο οὐρανίᾳ, ἀλλ' ὡς κρατυνομένης ταύτης ἡ πολιτικὴ καταλυθήσεται, εἴθε πάντες ἐπείσθησαν, ἵνα πάντα κοινὰ πάντων ἐγίνετο[1], μηδενὸς χρήζοντος, ὡς ἐν οὐρανοῖς ὑπὸ Θεοῦ βασιλευομένων ἡμῶν καὶ πάντων εὐνομουμένων καὶ ὁμολογούντων ἀλλήλοις, τῆς πλεονεξίας μὲν ἀναιρουμένης, ἀντεισαγομένης δὲ τῆς ἰσότητος κἂν σὺ οὐκ ἀρεσθήσῃ, μή πως, ταύτης κρατυνθείσης, οὐχ ἕξεις ὧν βασιλεύσεις.

**[724]** 7. Τοιαῦτα πολλάκις ἐγένετο καὶ γίνεται· καὶ **96** πῶς ταῦτα συντελείας σημεῖα[2]; Ἀλλ' εἰ καὶ γέγονε τοιαῦτα, οὐκ ἐπὶ πάντων οὐδὲ πάντα ὁμοῦ· νῦν δὲ ταῦτα πάντα κατὰ μέρος καὶ οὐκ ἐπὶ πᾶσι γινόμενα γενήσεται πανταχοῦ τότε, ὥστε πᾶσιν εἶναι καταφανὲς ἐκ τούτων τὸν κόσμον λυθήσεσθαι, ὥσπερ ἄῤῥωστον ἐν ἀπογνώσει γενόμενον, πάντων ὁμοῦ τῶν φθειρόντων αὐτὸν σημείων συμπεσόντων ἐς ταὐτό, καίπερ πολλάκις νοσήσαντος ἔκ τινος τούτων καὶ διαπεφευγότος τὸν θάνατον διὰ τὸ μὴ ἱκανὸν γενέσθαι τὸ ἓν διαφθεῖραι τὸν ἄνθρωπον. Ὅταν οὖν, φησί, πάντα ὁμοῦ ταῦτα γένηται, «λοιμοὶ καὶ λιμοὶ καὶ ἐπαναστάσεις ἐθνῶν ἐπὶ ἔθνη καὶ βασιλείας ἐπὶ βασιλείαν»[3] καὶ τἆλλα ἃ εἶπε φόβητρα καὶ πάντα ὁμοῦ κατὰ πάντων κινηθῇ, τότε σημαίνειν φησὶν ἐγγὺς οὖσαν τὴν παρουσίαν αὐτοῦ[4].

8. Ἀλλὰ καὶ τοιαῦτα προσεύχεται, φησίν, ὁ Ἰησοῦς, οἷα ἄθλιος ἄνθρωπος συμφορὰν φέρειν εὐκόλως οὐ δυνάμενος, καὶ ὑπ' Ἀγγέλου Θεὸς ὢν ἐνισχύεται[5]. Τίς δὲ καὶ ἀνήγγειλέ σοι, Λουκᾶ, περὶ τοῦ Ἀγγέλου (ὅπου, εἰ καὶ γέγονε τοῦτο, οὐδὲ οἱ τότε παρόντες εὐχομένῳ ἰδεῖν οἷοί τε ἦσαν· ἐκοιμῶντο γάρ); Διὸ καί «ἀπὸ τῆς προσευχῆς ἐλθὼν εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης καὶ εἶπε· Τί καθεύδετε; Ἀναστάντες προσεύχεσθε»[6] καὶ τὰ ἑξῆς, εἶτα «καὶ ἔτι αὐτοῦ λαλοῦντος, **98** ἰδοὺ ὄχλος πολὺς καὶ Ἰούδας»[7].

**1.** Πρβλ. Πράξ. 2,44. 4,32. **2.** Πρβλ. Ματθ. 24,3. **3.** Λουκ. 21,10-11. Ματθ. 24,7. Μάρκ. 13,8. **4.** Πρβλ. Λουκ. 21,28. **5.** Πρβλ. Λουκ. 22,42-43. **6.** Λουκ. 22,45-46. **7.** Λουκ. 22,47.

Διὸ οὐδὲ ἔγραφεν Ἰωάννης, οὐδὲ γὰρ εἶδε. Ταῦτα Ἰουλιανός. Οὐκ ἀνδρείας ἐστὶ καὶ σοφίας τὸ μὴ φοβεῖσθαι τὰ φοβερά, ἀλλὰ τὸ καὶ τοιαῦτα εἰδότα ὅμως σὺν λόγῳ ποτὲ καταδέχεσθαι· θανάτου γὰρ ἀνθρώποις οὐδὲν φοβερώτερον, κἂν ὑπὲρ τοῦ εὐεργετῆσαί τινας ᾖ. Ἐπεὶ οὖν καὶ ὁ Χριστὸς κατὰ τὴν σάρκα τὴν ληφθεῖσαν ἄνθρωπος ἀληθῶς κατὰ φύσιν ἦν ἐκ τῶν πατέρων καταγόμενος, λογισμῷ καὶ κρίσει πολιτευόμενος, ἀλλ'**[725]**οὐκ ἐν σχήματι καὶ δοκήσει πολιτεύεσθαι δοκῶν, δειλιᾷ τὸν θάνατον κατὰ φύσιν ἀνθρώπων καὶ εὔχεται καὶ ἐνισχύεται ὑπὸ Ἀγγέλου[1]. Τῆς μὲν ψυχῆς αὐτοῦ προθυμουμένης λογισμῷ αἱρεῖσθαι ὑπὲρ πάντων τὸν θάνατον, τοῦ δὲ σώματος διαπίπτοντος τῇ δειλίᾳ, ἀληθῶς οὖν ἀνδρείαν ψυχῆς ἦν θεάσασθαι ἐν ἀσθενείᾳ σώματος λογισμῷ μόνῳ πρὸς τὴν φύσιν μαχόμενης καὶ κρατούσης. Μὴ οὖν σύγχει τὰ λεγόμενα ὑφ' ἡμῶν. Οὐ γὰρ ἐπειδὴ Θεὸν λέγομεν τὸν Χριστὸν κατὰ τὴν ἀΐδιον καὶ ἄναρχον ἐκ Θεοῦ καὶ Πατρὸς φύσιν, οὐχὶ καὶ ἄνθρωπον ἀληθῶς ὁμολογοῦμεν αὐτὸν κατὰ τὴν πρόσκαιρον καὶ μετὰ πολλὰς γενεὰς γενομένην ἐξ ἀνθρώπων διαδοχήν· οὐ γὰρ τῷ μεταβληθῆναι λέγομεν γενέσθαι τὸν Θεὸν Λόγον σάρκα, ἀλλὰ τῷ ἀναλαβεῖν σάρκα. Μαθεῖν δὲ τὸν Λουκᾶν περὶ τοῦ Ἀγγέλου πολλαχόθεν ἦν δυνατόν· πρῶτον μὲν παρὰ Πέτρου καὶ τῶν Ζεβεδαίου υἱῶν εὐχομένῳ παρόντων τῷ Ἰησοῦ[2], ἔπειτα καὶ παρ' αὐτοῦ μετὰ τὴν ἀνάστασιν τεσσαράκοντα ἡμέρας αὐτοῖς συναλιζομένου[3]. Οὐκ ἔγραφε δὲ τοῦτο Ἰωάννης εἰδώς, ἐπεὶ καὶ ἄλλα μύρια εἰδὼς οὐκ ἔγραφε[4], τάχα καὶ διότι οὗτος ἔφθη γράψας. Πῶς δὲ ἐκεῖνο οὐ καθορᾷς, ὡς οὐκ ἅμα τῷ εὔχεσθαι τὸν Ἰησοῦν καθεύδοντες οἱ μαθηταὶ πα**100**ραδέδονται, ἵνα μηδὲ θεάσωνται τὸν Ἄγγελον, εἴ γε ἐνεδίδοτο πρὸς τὸ θεάσασθαι; Οὐδὲ γὰρ πόρρω θέας καὶ ἀκοῆς ἦσαν, παρατεινομένης δὲ τῆς εὐχῆς αὐτῷ συνέβαινε τοῖς μαθηταῖς τὸ βαρεῖσθαί τε καὶ καθεύδειν[5], ἄλλως δὲ καὶ τρίτον προσευξαμένου[6] καὶ διυπνιζομένων εἰς τὸ προσεύχεσθαι. Ὁρᾶν δὲ τὸν Ἄγγελον συνέβαινεν ἐν νυκτὶ πανσελήνῳ, καὶ ἄνευ

**1.** Πρβλ. Λουκ. 22,43. **2.** Πρβλ. Ματθ. 26,37. **3.** Πρβλ. Πράξ. 1,3-4. **4.** Πρβλ. Ἰω. 21,25. **5.** Πρβλ. Ματθ. 26,43. Μάρκ. 14,40. **6.** Πρβλ. Ματθ. 26,44.



δὲ φωτὸς τοῦ ἐν νυκτὶ πολλῷ περιαστραπτόμενον φωτί· ἢ καὶ αὐτοῦ τοῦ Ἰησοῦ παραδηλώσαντος αὐτοῖς τότε τὰ παρακολουθήσαντα αὐτῷ προσευχομένῳ ἵνα μᾶλλον αὐτοὺς εἰς προσευχὴν διαναστήσῃ.

9. Ἰησοῦς δὲ ἀπαχθεὶς πρὸς Ἡρώδην οὐδὲν ἐποίησε σημεῖον, καίπερ ἐκείνου ἐπιθυμοῦντος ἰδεῖν ἢ ἀκοῦσαί τι λέγοντος[1], ἐπειδὴ ᾔδει ὡς οὐκ εὐεργετηθήσεται. Τὰ γὰρ σημεῖα οὐχ ἁπλῶς ἐποίει, οὐδὲ πρὸς ἐπίδειξιν καὶ ἵνα αὐτὸς θαυμάζηται, ἀλλ' ἵνα ἐκεῖνοι «πιστεύσαντες σωθῶσι»[2]. Δῆλος γὰρ ἦν οὐκ ἐπὶ **[728]** τούτῳ ζητῶν τι θαῦμα, ἀλλ' ὡς μεμηνὼς κατ' αὐτοῦ καὶ ἄξιον ὀργῆς τι θεάσασθαι προσδοκῶν· οὐ γὰρ ἀθῷον ἀφῆκε καίπερ καταφρονήσας ὡς μηδὲν ποιῆσαι δυνάμενον, ἀλλὰ στρατιωτικὴν αὐτὸν ἐνδύσας ἐσθῆτα ἀπέπεμψε τῷ Πιλάτῳ, φίλος γενόμενος[3] ὡς ἀπαλλαγεὶς ὑποψίας καὶ κρατήσας ἐχθροῦ καὶ πολεμίου, ἐξουδενώσας αὐτὸν ὡς ἐχθρὸν μηκέτι τι ποιῆσαι δυνάμενον.

‹**125** Ἐδηλοῦντο δὲ ἄρα διὰ μὲν τῶν εὐτρεπισθέντων ζῴων αἱ γενεαί, διὰ δὲ τοῦ τριετοῦς αὐτῶν[4] τὸ νεάζον ἔτι τοῦ λαοῦ καὶ ἐν ἀκμῇ καθεστός. Καὶ ἡ μὲν δάμαλις πρώτη ληφθεῖσα τὴν πρώτην εἰκότως ἐσήμαινε γενεάν· ὡς γὰρ ἡ δάμαλις ἀδάμαστός ἐστιν, ἄπειρος οὖσα ζυγοῦ, οὕτω καὶ ἡ τοῦ εἰς Αἴγυπτον κατελθόντος λαοῦ πρώτη φορὰ τῆς Αἰγυπτιακῆς σκληραγωγίας ἐλευθέρα διεφυλάχθη. Ἡ δὲ αἲξ δευτέρα παρελήφθη μετὰ τὴν δάμαλιν, διὰ τὸ τὴν δευτέραν γενεὰν προαινίττεσθαι· ὥσπερ γὰρ ἡ αἲξ βραχεῖαν μὲν τοῖς δεσπόταις παρέχει τὴν πρόσοδον, παρέχει δὲ ὅμως, οὕτω καὶ ἡ τοῦ λαοῦ δευτέρα φορὰ δουλείαν τοῖς Αἰγυπτίοις, εἰ καὶ μὴ πολλήν, ἀλλ' ὅμως παρείχετο. Τρίτος δὲ ὁ κριὸς προσαχθεὶς τὴν τρίτην ἄντικρυς προεμήνυεν· ὅ τε γὰρ κριὸς πλείονα δίδωσιν ἐξ ἑαυτοῦ τῷ δεσπότῃ τὸν πόρον, ὁμοίως δὲ καὶ τῶν Ἰσραηλιτῶν ἀπεκαρπώσαντο μάλιστα τὴν τρίτην γενεὰν οἱ Αἰγύπτιοι. Ἡ γε μὴν τρυγὼν μετὰ τῆς περιστερᾶς τοὺς ἐξελθόντας ἐξ Αἰγύπτου δηλοῖ. Καὶ ἡ μὲν τρυγών, ὡς φιλέρημος ὄρνις, τὸν ἐν τῇ ἐρήμῳ διαγενόμενον γνωρίζει λαόν· ἡ περιστερὰ δέ, ὡς ἥμερος καὶ ἀνθρώποις

**1.** Πρβλ. Λουκ. 23,7-9. **2.** Λουκ. 8,12. **3.** Πρβλ. Λουκ. 23,11-12. **4.** Πρβλ. Γεν. 15,9.

ἅμα κατ' οἴκους αὐλιζομένη, τὸν ἐν τῇ γῇ τῆς ἐπαγγελίας κατοικισθέντα λαόν. Τούτου γοῦν ἕνεκεν τήν τε δάμαλιν καὶ τὴν αἶγα καὶ τὸν κριὸν μέσα διεῖλε καὶ τέθεικεν ‹ἑ›αυτοῖς ἀντιπρόσωπα[1], διὰ μὲν τῆς τομῆς τὴν ἐν τῇ παροικήσει θλῖψιν αὐτῶν καὶ τὴν συντριβὴν ὑπεμφαίνων, διὰ δὲ τῆς θέσεως τῆς ἀντιπροσώπου τὸ τῆς δουλείας ἀλλήλοις αὐτοὺς συμμετεσχηκέναι δηλῶν. Τὴν μέντοι τρυγόνα καὶ τὴν περιστερὰν ἐφύλαξεν ἀδιαίρετον[2], ὡς τῶν ἐξελθόντων τὴν Αἴγυπτον τῆς Αἰγυπτιακῆς ἀπαλλαγέντων ταλαιπωρίας. Ἡ δὲ ἐπὶ τὰ διχοτομήματα τῶν ὀρνέων κατάπτησις τὴν κατὰ τοῦ λαοῦ τῶν Αἰγυπτίων ὁρμὴν προεμήνυεν. Τὸ δὲ συγκαθεσθῆναι αὐτοῖς[3] ἀποσοβοῦντα τὸν Ἀβραὰμ ἐδείκνυ τοῦ Θεοῦ τὴν περὶ τὸν λαὸν πρόνοιαν ἐσομένην διὰ τὰς πρὸς τὸν Ἀβραὰμ ὑποσχέσεις. «Περὶ δὲ ἡλίου», φησίν, «δυσμάς» (ἡ τῆς ἡμέρας συμπλήρωσις τὴν συμπλήρωσιν τῶν χρόνων παραδηλοῖ) «ἔκστασις ἐπέπεσεν ἐπὶ τὸν Ἀβραάμ, καὶ ἰδοὺ φόβος μέγας καὶ σκοτεινὸς ἐπιπίπτει αὐτῷ»[4], πρὸς τὸ ἀμετεώριστον αὐτόν, οἶμαι, γενέσθαι καὶ συντεταμένον εἰς τὴν τῶν λεγομένων ἀκρόασιν. **[PG 80, 175-176]**›

## Β'*

**60** Ἄλλος τις εἰπὼν κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως καὶ ἀπολογούμενος περὶ τοῦ μὴ εἶναι συμβολικὸν τὸν παῖδα τοῦ θεσπεσίου Ἀβραὰμ ὧδέ φησιν· Καὶ ποῖον προσόμοιον τῷ ζητουμένῳ πράγματι ᾔτησεν ὀφθῆναι, θαυμάσιε βασιλεῦ, ἵνα καὶ σύμβολον τοῦτο ἐκείνης καλοῖς; τὸ ἐπικλῖναι τὴν ὑδρίαν καὶ πιεῖν αὐτὸν καὶ τὰς καμήλους αὐτοῦ προσόμοιόν ἐστι τῇ ζητουμένῃ γυναικί, ἵνα καὶ σύμβολον τοῦτο ἐκείνης προσείπωμεν; Διὰ γὰρ τῶν ἀνομοίων αὐτῇ μᾶλλον ᾔτησεν ἐκείνην μαθεῖν. Οὔτε μὴν ὡρισμένον τι

*Κατὰ τὴν ἔκδοσιν A. Guida, Un nuovo frammento della replica a Giuliano di Teodoro di Mopsuestia, ἐν Bolletino della badia greca di Grottaferrata 53 (1999), σσ. 60-61.

**1.** Πρβλ. Γεν. 15,10. **2.** Ἔνθ' ἀν. **3.** Πρβλ. Γεν. 15,11. **4.** Γεν. 15,12.



εἰώθασιν αἰτεῖν, ἀλλ' ἁπλῶς ὅμοιον, ὁ δὲ διωρισμένον ᾔτησεν καὶ ἀνόμοιον· «Καὶ ἔσται ἡ παρθένος ᾗ ἂν ἐγὼ εἴπω Ἐπίκλινόν μοι τὴν ὑδρίαν σου ἵνα πίω καὶ εἴπῃ μοι πίε καὶ τὰς καμήλους σου ποτιῶ ἕως ἂν παύσωνται πίνουσαι, ταύτην ἡτοίμασας τῷ παιδί σου Ἰσαάκ»[1].

Τοῦτο γὰρ οὐκ ἔστι δι' ἑτέρου ἕτερον ἐθέλοντος συμβαλεῖν, ἀλλ' **61** αὐτὴν ἐκείνην ἰδεῖν. Καὶ προσέτι, οἱ συμβολικοὶ περὶ οὗ ἂν πράγματος διὰ συμβόλου γνῶναι ἐθέλωσιν, βούλονται μὲν καὶ εὔχονται συμφέρον τῷ πράγματι θεάσασθαι σύμβολον, οὐ μὴν ἴσασιν ὅτι τοιοῦτον θεάσονται, ἀλλ' ὡς τοῦτο ἢ ἐκεῖνο προσδοκῶσι· περὶ γὰρ ἀμφιβόλου πράγματος αἰτοῦσι μαθεῖν. Οὗτος δὲ εὔχεται μαθεῖν περὶ ὡρισμένου καὶ ἀναμφιβόλου πράγματος, αὐτὴν ἐκείνην αὐτῷ δειχθῆναι ἣν ὀφείλει λαβεῖν εἰς γυναῖκα τῷ Ἰσαάκ, οὐχὶ εἰ ἔχει λαβεῖν ἢ μή. Ταύτῃ γὰρ εὐχὴ ἁπλῆ εὐχῆς συμβολικῆς διαφέρει, ὅτι ὁ εὐχόμενος ἁπλῶς, αὐτὸ τὸ πρᾶγμα ζητεῖ ἀποβῆναι ὡς βούλεται ἀγαθὴν οὖσαν αἴτησιν, ὁ δὲ συμβολικῶς εὐχόμενος, ὡς ἔσχεν ἢ ἔχει ἢ ἕξει εὔχεται διὰ συμβόλου μαθεῖν, οὐδ' ἕτερον προεπιστάμενος. Ὁ δὲ οἰκέτης τοῦ Ἀβραὰμ ηὔξατο γενέσθαι φανερὰν ἣν ἔδει λαβεῖν γυναῖκα τῷ Ἰσαάκ[2], καὶ αὐτὸ τὸ σύμβολον αἰτήσας δειχθῆναι καὶ αὐτὴν ἐκείνην· ὁ δὲ συμβολικὸς οὔτε τὸ σύμβολον οἶδεν ὡρισμένως οὔτε αἰτεῖ {οὔτε} τὴν ἀπόβασιν τοῦ πράγματος ὡρισμένην, ἀλλὰ καὶ τὸ σύμβολον ἄδηλον, ἐπειδὴ καὶ τὸ πρᾶγμα αὐτὸ ἄδηλόν ἐστι. Ὥστε δέδεικται μήτε τὸν οἰκέτην ὄντα συμβολικόν, ἀλλὰ πιστεύσαντα τῷ Θεῷ Ἀβραάμ, καὶ ὡς πιστὸν οἰκέτην εὐχόμενον.

**1.** Γεν. 24,14. **2.** Πρβλ. Γεν. 24,12-14.

# ΝΟΘΑ

## ΙΣΟΝ ΤΗΣ ΕΚΘΕΣΕΩΣ ΤΟΥ ΠΑΡΑΠΛΑΣΘΕΝΤΟΣ ΣΥΜΒΟΛΟΥ*

**327 [1016]** Τοὺς ἢ νῦν πρῶτον παιδευομένους τῶν ἐκκλησιαστικῶν δογμάτων τὴν ἀκρίβειαν, ἢ ἔκ τινος αἱρετικῆς πλάνης μεθίστασθαι βουλομένους ἐπὶ τὴν ἀλήθειαν, διδάσκεσθαι ὀφείλει καὶ ὁμολογεῖν ὅτι πιστεύομεν εἰς ἕνα Θεόν, Πατέρα ἀΐδιον, οὐθ' ὕστερον ἀρξάμενον τοῦ εἶναι ἀλλ' ἄνωθεν ὄντα ἀΐδιον Θεόν, οὔτε μὴν ὕστερον γεγονότα Πατέρα, ἐπειδήπερ ἀεὶ Θεός τε ἦν καὶ Πατήρ. Πιστεύομεν δὲ καὶ εἰς ἕνα Θεοῦ Υἱὸν Μονογενῆ ἐκ τῆς οὐσίας ὄντα τῆς πατρῴας, ὄντως Υἱὸν καὶ τῆς αὐτῆς οὐσίας ὄντα οὗπέρ ἐστιν καὶ πιστεύεται Υἱός. Καὶ εἰς τὸ Πνεῦμα **328** δὲ τὸ Ἅγιον ἐκ τῆς Θεοῦ τυγχάνον οὐσίας, οὐχ Υἱόν, Θεὸν δὲ ὄντα τῇ οὐσίᾳ, ὡς ἐκείνης ὃν τῆς οὐσίας ἧσπέρ ἐστιν ὁ Θεὸς καὶ Πατήρ, ἐξ οὗπερ κατ' οὐσίαν ἐστίν. «Ἡμεῖς» γάρ, φησίν, «οὐ τὸ πνεῦμα ἐλάβομεν τοῦ κόσμου, ἀλλὰ **[1017]** τὸ πνεῦμα τὸ ἐκ Θεοῦ»[1]· τῆς μὲν κτίσεως ἀποχωρίσας ἁπάσης, Θεῷ δὲ συνάψας, ἐξ οὗπερ κατ' οὐσίαν ἐστὶν ἰδιάζοντι λόγῳ παρὰ πᾶσαν τὴν κτίσιν, ἣν οὐ κατ' οὐσίαν ἀλλ' αἰτίᾳ δημιουργίας ἐκ Θεοῦ νομίζομεν εἶναι· καὶ οὔτε Υἱὸν νομίζομεν, οὔτε διὰ Υἱοῦ τὴν ὕπαρξιν εἰληφός. Ὁμολογοῦμεν δὲ Πατέρα τέλειον προσώπῳ καὶ Υἱὸν ὁμοίως καὶ Πνεῦμα δὲ Ἅγιον ὡσαύτως, σῳζομένου τοῦ λόγου τῆς εὐσεβείας ἡμῖν τῷ Πατέρα καὶ Υἱὸν ὁμοίως καὶ Πνεῦμα Ἅγιον μὴ τρεῖς τινας διαφόρους οὐσίας νομίζειν, ἀλλὰ μίαν τῇ ταυτότητι τῆς θεότητος γνωριζομένην.

Χρὴ δὲ καὶ περὶ τῆς οἰκονομίας, ἣν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας ἐν τῇ κατὰ τὸν Δεσπότην Χριστὸν οἰκονομίᾳ ὁ Δεσπότης ἐξετέλεσεν Θεός, εἰδέναι ὅτι ὁ Δεσπότης Θεὸς Λόγος ἄνθρωπον

*Κατὰ τὴν ἔκδοσιν H.B. Swete, Theodori episcopi Mopsuesteni in epistolas B. Pauli commentarii, τ. 2, Cambridge 1882, 1969² σσ. 327-332 (J.-P Migne, PG 66, 1016-1020).

**1.** Α' Κορ. 2,12.



εἴληφεν τέλειον ἐκ σπέρματος ὄντα Ἀβραὰμ καὶ Δαβίδ, κατὰ τὴν διαγόρευσιν τῶν θείων Γραφῶν, τοῦτο ὄντα τὴν φύσιν ὅπερ ἦσαν ἐκεῖνοι ὧνπερ ἐκ σπέρματος ἦν, ἄνθρωπον τέλειον τὴν φύσιν ἐκ ψυχῆς **329** τε νοερᾶς καὶ σαρκὸς συνεστῶτα ἀνθρωπίνης· ὃν ἄνθρωπον ὄντα καθ' ἡμᾶς τὴν φύσιν, Πνεύματος Ἁγίου δυνάμει ἐν τῇ τῆς Παρθένου μήτρᾳ διαπλασθέντα, «γενόμενον ἐκ γυναικὸς καὶ γενόμενον ὑπὸ νόμον, ἵνα» πάντας ἡμᾶς «ἐξαγοράσῃ»[1] τῆς τοῦ νόμου δουλείας, τὴν πόῤῥωθεν προωρισμένην υἱοθεσίαν ἀπολαβόντας, ἀποῤῥήτως συνῆψεν ἑαυτῷ· θανάτου μὲν αὐτὸν κατὰ νόμον ἀνθρώπων πειρασθῆναι κατασκευάσας, ἐγείρας δὲ ἐκ νεκρῶν καὶ ἀναγαγὼν εἰς οὐρανὸν καὶ καθίσας ἐκ δεξιῶν τοῦ Θεοῦ. Ὅθεν δὴ «ὑπεράνω πάσης ὑπάρχων ἀρχῆς καὶ ἐξουσίας καὶ κυριότητος καὶ δυνάμεως καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐκ ἐν τῷ αἰῶνι τούτῳ μόνον, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι»[2] τὴν παρὰ πάσης τῆς κτίσεως δέχεται προσκύνησιν, ὡς ἀχώριστον πρὸς τὴν θείαν φύσιν ἔχων τὴν συνάφειαν, ἀναφορᾷ Θεοῦ καὶ ἐννοίᾳ πάσης αὐτῷ τῆς κτίσεως τὴν προσκύνησιν ἀπονεμούσης. Καὶ οὔτε δύο φαμὲν υἱοὺς οὔτε δύο κυρίους, ἐπειδὴ εἷς Υἱὸς κατ' οὐσίαν, ὁ Θεὸς Λόγος, ὁ Μονογενὴς Υἱὸς τοῦ Πατρός· ᾧπερ οὗτος συνημμένος τε καὶ μετέχων θεότητος κοινωνεῖ τῆς Υἱοῦ προσηγορίας τε καὶ τιμῆς· καὶ Κύριος κατ' οὐσίαν ὁ Θεὸς Λόγος, ᾧ συνημμένος οὗτος κοινωνεῖ τῆς τιμῆς. Καὶ διὰ τοῦτο οὔτε δύο φαμὲν υἱοὺς οὔτε δύο **330** κυρίους, ἐπειδὴ δήλου τοῦ κατ' οὐσίαν ὄντος Κυρίου τε καὶ Υἱοῦ, ἀχώριστον ἔχων πρὸς αὐτὸν τὴν συνάφειαν ὁ ὑπὲρ τῆς ἡμετέρας ληφθεὶς σωτηρίας συναναφέρεται τῇ τε ὀνομασίᾳ καὶ τῇ τιμῇ τοῦ τε Υἱοῦ καὶ τοῦ Κυρίου· οὐχ ὥσπερ ἡμῶν ἕκαστος καθ' ἑαυτὸν ὑπάρχων Υἱός—ὅθεν δὴ καὶ 'πολλοὶ υἱοί'[3] κατὰ τὸν μακάριον λεγόμεθα Παῦλον—ἀλλὰ μόνος ἐξαίρετον ἔχων τοῦτο ἐν τῇ πρὸς τὸν Θεὸν Λόγον συναφείᾳ, τῆς τε υἱότητος καὶ κυριότητος μετέχων, ἀναιρεῖ μὲν πᾶσαν ἔννοιαν δυάδος υἱῶν τε καὶ κυρίων, παρέχει δὲ ἡμῖν ἐν τῇ πρὸς τὸν Θεὸν Λόγον συναφείᾳ πᾶσαν ἔχειν αὐτοῦ τὴν πίστιν καὶ τὴν ἔννοιαν καὶ τὴν θεωρίαν. **[1020]** Ὑπὲρ ὧν δὴ καὶ τὴν προσκύνησιν κατ' ἀναφορὰν Θεοῦ παρὰ πάσης δέχεται τῆς

**1.** Γαλ. 4,4-5. **2.** Ἐφ. 1,21. **3.** Πρβλ. Ἑβρ. 2,10.

κτίσεως. Ἵνα τοίνυν τὸν Υἱόν φαμεν καὶ Κύριον Ἰησοῦν Χριστόν, δι' οὗ τὰ πάντα ἐγένετο· πρωτοτύπως μὲν τὸν Θεὸν Λόγον νοοῦντες τὸν κατ' οὐσίαν Υἱὸν Θεοῦ καὶ Κύριον, συνεπινοοῦντες δὲ τὸ ληφθέν, «Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ, ὃν ἔχρισεν ὁ Θεὸς πνεύματι καὶ δυνάμει»[1], ὡς ἐν τῇ πρὸς τὸν Θεὸν Λόγον συναφείᾳ υἱότητός τε μετέχοντα καὶ κυριότητος· ὃς καί 'δεύτερος Ἀδάμ'[2] κατὰ τὸν μακάριον καλεῖται Παῦλον, ὡς τῆς αὐτῆς μὲν φύσεως ὑπάρχων τῷ Ἀδάμ, ἀναδείξας δὲ ἡμῖν τὴν μέλλουσαν κατάστασιν, καὶ τοσαύτην ἔχων πρὸς ἐκεῖνον τὴν διαφορὰν ὁσήπερ ἂν γένοιτο τοῦ τὰ **331** ἀπόρρητα χορηγοῦντος ἐπὶ τῆς μελλούσης καταστάσεως ἀγαθὰ πρὸς τὸν τῶν παρόντων λυπηρῶν δεδωκότα τὴν ἀρχήν. Τὸν ὅμοιον δὲ τρόπον καί 'δεύτερος Ἀδάμ' καλεῖται ὡς τὴν δευτέραν κατάστασιν ἐκφήνας, ἐπειδήπερ τῆς μὲν προτέρας ἀρχὴ γέγονεν ὁ Ἀδάμ[3], τῆς θνητῆς καὶ παθητῆς καὶ πολλῶν γεμούσης ὀδυνηρῶν, ἐν ᾧ δὴ καὶ τὴν πρὸς αὐτὸν εἰλήφαμεν ὁμοίωσιν· τὴν δευτέραν δὲ ἀνέδειξεν ὁ Κύριος Χριστός, ὃς ἐξ οὐρανῶν ἐπὶ τοῦ μέλλοντος φανεὶς ἅπαντας ἡμᾶς εἰς τὴν κοινωνίαν ἄξει τὴν οἰκείαν. Ὁ γάρ «πρῶτος», φησίν, «ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ»[4]· τουτέστιν, ἐκεῖθεν ἀναφαίνεσθαι μέλλων ἐπὶ τῷ πάντας εἰς μίμησιν ἄγειν ἑαυτοῦ. Ὅθεν ἐπάγει· «οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου»[5]. Ἐν τούτῳ δὴ φαινομένῳ τε καὶ παρὰ πάντων ὁρωμένῳ τῶν κρίνεσθαι μελλόντων ἐν ἀφανεῖ τυγχάνουσα ποιήσεται τὴν κρίσιν ἡ θεία φύσις. «Τοὺς γὰρ χρόνους τῆς ἀγνοίας ἡμῶν ὑπεριδὼν ὁ Θεός, τὸ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσιν πανταχοῦ μετανοεῖν, καθότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ ἐν ἀνδρὶ ᾧ ὥρισεν, πίστιν παρασχὼν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν»[6].

**332** [Αὕτη τῶν ἐκκλησιαστικῶν δογμάτων ἡ διδασκαλία, καὶ πᾶς ὁ ἐναντία τούτοις φρονῶν ἀνάθεμα ἔστω].

---

**1.** Πράξ. 10,38. **2.** Πρβλ. Α' Κορ. 15,45-47. **3.** Ἔνθ' ἀν. **4.** Α' Κορ. 15,47. **5.** Α' Κορ. 15,48-49. **6.** Πράξ. 17,30-31.

# ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΕΚΠΕΠΤΩΚΟΤΟΣ ΑΝΤΙΓΡΑΜΜΑ ΠΡΟΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΔΙΔΑΣΚΑΛΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ*

**220 [1063]** 1. Πάντοτε οἱ ἐν εὐδίοις λιμέσιν ὁρμιζόμενοι τοῖς ἐν μέσῳ θαλάσσης χειμαζομένοις βοηθεῖν σπουδάζουσιν, ὡς ἂν ᾖ δυνατόν, κατὰ δύο τρόπους, ἢ ὡς παρελθόντες τοὺς χειμῶνας καὶ μεμνημένοι τῶν φοβερῶν κυμάτων καὶ ὅσα αὐτοῖς κατὰ θάλατταν δεινὰ συνέβαινεν, οἰκτείρουσι τοὺς πάσχοντας, ἢ μήπω χειμασθέντες ὡσαύτως οἰκειοῦνται τοὺς κινδύνους, διὰ τὸ δεῖν τὴν αὐτὴν θάλατταν τεμόντες καὶ τὰ αὐτὰ τῶν κυμάτων δεινὰ πειραθέντες, οὕτως ἐπὶ τὸν λιμένα τῆς ἀναπαύσεως καταντῆσαι, σπουδάζουσι καὶ μυρίαις μηχαναῖς χρώμενοι, εἰ δυνατόν, ὅλην τὴν ναῦν περιποιήσασθαι· εἰ δὲ μή γε, κἂν τοὺς ναυαγήσαντας γυμνοὺς περισῶσαι σπουδάζουσιν· καὶ τῆς παρὰ τοῦ Θεοῦ δικαίας μισθαποδοσίας τυχεῖν ἐλπίζουσιν[1]. Ἀλλ' ἐμοὶ τῷ τάλανι, ναυαγίῳ περιπεσόντι χαλεπωτάτῳ καὶ χειμαζομένῳ, οὐ λέγω, ἐν μέσῳ θαλάσσης ἀλλ' ἐν πυθμένι βυθοῦ καὶ ἔτι ἀγωνιζομένῳ, ὥσπερ τις ἰχθῦς ἀπὸ βάθους πρὸς τὴν ἄνω ἐπιφάνειαν ἀνανηξάμενος ἀπαλλαγῆναι τῶν κατὰ τὸν βυθὸν ἰοβόλων ἑρπετῶν, οὐδεὶς ὁ βοηθῶν.

**222** Πάντως διὰ τὸ τοιαύτας ἡμῶν μνήμας ἔχειν· οὐδέποτε γὰρ δυνάμεσί τισιν τοιοῦτοι ἐπεφάνημεν· καὶ διὰ τοῦτο ἐν τούτοις εὑρέθημεν, ἵνα μάθωμεν ἀφ' ὧν πάσχομεν· ἀλλὰ μὴ τὰ αὐτὰ σπλάγχνα, τίμιοι πατέρες, ἐπιδείξησθε ἐν ἐμοὶ τῷ ἐκπτώτῳ καὶ ταπεινῷ, «ἰδόντες δὲ τὸ ἐμὸν τραῦμα φοβήθητε»[2]. Τί γὰρ ἂν εἴποιμι; Ἆρα οὐ χάρτης, οὐχ ἡμερῶν δύο σχολή, οὐχ ἑνὸς ζῴου κάματος εὑρέθη; Ἀλλὰ πάντως κατὰ τοὺς ἐμπειροτάτους τῶν ἰατρῶν, οἵ, ὅταν ἅψωνται καὶ ἴδωσι πρὸς θάνατον ἐπειγομένους, ἀποκρατοῦσι μὲν τὰ βοηθήματα, παρασκευάζουσι δὲ διὰ τῶν ζώντων τῷ

---

* Κατὰ τὴν ἔκδοσιν J. Dumortier, Saint Jean Chrysostome. À Théodore (Sources Chrétiennes 117), Paris 1966, σσ. 220-238 (J. – P. Migne, PG 48,1063-1066).

**1.** Πρβλ. Ἑβρ. 2,2. 10,35. **2.** Ἰὼβ 6,21.

ὁρμήσαντι τὰ ἐπιθανάτια καὶ τοῖς φίλοις τοῦ ζῶντος τὸν θάνατον καταγγέλλουσιν, πένθους δεινοῦ ὑποφῆται γενόμενοι, οὐ τῆς αὐτῶν τέχνης τὰς ἀποτυχίας ἐννοούμενοι ἀλλ' ἀρχοντικῷ φρονήματι κατὰ τοῦ κάμνοντος ἀποφαίνονται. Οὕτω δὴ καὶ ἡ ὑμετέρα ὁσιότης ἀπεκράτησε μὲν τὴν παράκλησιν, ἀπέκλεισεν δὲ τὴν παραίνεσιν· ἐσπούδασεν δὲ τὸ σύστημα τῆς ἀδελφότητος διασπαρῆναι, καὶ πᾶσι τοῖς ὑπὸ τήνδε τὴν ἐνορίαν οἰκοῦσιν ἐξήγγειλεν τὸν ἡμέτερον θάνατον, ὡς διαδοθῆναι καὶ τοῖς ὑπὲρ τὰ ὄρεια οἰκοῦσιν, καὶ τοῖς μὲν εὐλαβέσι καὶ ἀγαπητοῖς πένθος δεινόν, τοῖς δὲ ἄλλως ἔχουσι κατὰ τῆς πίστεως εὐφροσύνη καὶ χαρά. Πάντως δὲ ἐρεῖτε τοῦτο· «ἐφώνησεν πέρδιξ; Συνήγαγεν ἃ οὐκ ἔτεκεν· ποιῶν ἔλεον αὐτοῦ οὐ μετὰ κρίσεως ἐν ἡμίσει **224** ἡμερῶν αὐτοῦ ἐγκαταλείψουσιν αὐτὸν καὶ ἐπ' ἐσχάτων αὐτοῦ ἔσται ἄφρων»[1]. «Ἰδόντες τοίνυν τὸ ἐμὸν τραῦμα, πα**[1064]**τέρες τίμιοι, φοβήθητε»[2]. Καὶ πρῶτον μὲν διὰ τῶν ἁγίων ὑμῶν εὐχῶν δυσωπῆσαι τὸν εὔσπλαγχνον Δεσπότην σπουδάσατε· ὥστε φθᾶσαι αὐτοῦ τὴν φιλανθρωπίαν μέχρις ἡμῶν τῶν καθ' ἃ προείρηται ἐν πυθμένι βυθοῦ καὶ ἐν μέσῳ Ἅδου πεσόντων, ἔπειτα καὶ συντυχίᾳ ἀγαθῇ βοηθῆσαι μὴ ὀκνήσητε· ἔτι γὰρ τολμῶ τῆς ὑμετέρας ἀγάπης καταθαῤῥεῖν. Τό «ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος»[3], οἶδα γὰρ ὡς οὐκ ἄχθεσθε, εὔχεσθε δὲ μᾶλλον, καὶ ἰδόντες τὸ ἐμὸν τραῦμα φοβεῖσθε[4].

Ἀλλὰ μή με νομίσητε ἐπίδειξιν λόγων ποιεῖσθαι ἢ διδασκαλίας σύνταγμα· οὐ μὰ τὴν ὑμετέραν ἀγάπην· ἀλλὰ δέξασθέ με ὡς ἄλγος ἔχοντα μεγάλης πληγῆς καὶ φόβον κολάσεως αἰωνίου, ἐπιθυμίαν τε τῶν αἰωνίων ἀγαθῶν «ὧν τε ἤκουσα, ὧν τε ἐγευσάμην»[5], ἐν οἷς καὶ χρόνον διήγαγον· πρὸ τοῦ με ὑπὸ τῶν πολεμίων κατατιτρώσκεσθαι[6]. Καὶ ταῦτα γὰρ θεασάμενοι οἱ δόλιοι ἐβάσκαναν[7] καὶ οὕτως παντοίων μηχανῶν παγιδεύματα θέμενοι, τῆς νίκης τὸ τρόπαιον ἔστησαν· «ἰδὼν τοίνυν ἕκαστος ἡμῶν τὸ ἐμὸν τραῦμα φοβηθήτω»[8]. Καὶ ὁ μὲν διάγων ἐν τοῖς προειρημένοις

**1.** Ἱερ. 17,11. **2.** Πρβλ. Ἰὼβ 6,21. **3.** Παρμ. 18,19. **4.** Πρβλ. Ἰὼβ 6,21. **5.** Πρβλ. Ψαλ. 33,9. Α' Ἰω. 1,3. **6.** Πρβλ. Ψαλ. 12,5. **7.** Πρβλ. Γαλ. 3,1. **8.** Πρβλ. Ἰὼβ 6,21.



ἀγαθοῖς ὡς δεινοὺς καὶ μεγάλους ἐχθροὺς ἔχων κύκλῳ περισκοπείτω τὴν ἐπιβουλὴν τῆς τοῦ θησαυροῦ ἀφαιρέσεως[1]· ὁ δὲ μήπω γευσάμενος σπουδάζων δὲ ὡς πολλοὺς καὶ μεγάλους πολεμίους τοὺς τοῦτο διακωλύοντας ἔχων ἀσφαλιζέσθω.

**226** 2. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν καὶ τῶν ἡμῖν συμβαλλομένων δεηθῶμεν παρὰ τῆς ὑμετέρας ἀγάπης· ὑπὸ γὰρ τῆς ἡδονῆς τῶν λεγομένων κατὰ μικρὸν ἐμετεωρίσθημεν, εἰ καὶ μὴ ἐβλάψαμεν τοὺς τρέχοντας[2]· μᾶλλον δὲ ἐπεῤῥώσαμεν· ἡ γὰρ ὑμετέρα νίκη κατὰ τοῦ ἐχθροῦ ἐκεῖνον μὲν ἀσθενέστερον παρασκευάζει, ἡμᾶς δὲ ἀναλαβόντας τὰ ὅπλα αὖθις ἐπὶ τοὺς ἀγῶνας ἐλθεῖν. Μὴ τῷ φόβῳ τῆς ἑαυτῶν πληγῆς νῶτα διδόντες, ἀλλὰ τῇ προθυμίᾳ τῆς ὑμετέρας νίκης ἐπὶ τὸ στάδιον γενναιότεροι ἐλθεῖν. Πάλιν οὖν ὡς καὶ πολλάκις ἐδεήθην καὶ νῦν τῆς ὑμετέρας εὐλαβείας ἐτόλμησα, ἵνα καταξιώσητε τὰς εὐχὰς ὑμῶν ἀγκίστρου δίκην εἰς βυθὸν πέμψαι, καὶ ἐκεῖθεν τὸν ἰχθῦν ἀνακαλέσασθαι καὶ εἰσαγαγεῖν τοῦτον εἰς τὴν σαγήνην[3] ἐξ ἧς ὑπὸ σφοδρῶν καὶ δεινῶν κυμάτων ἐκβληθεὶς εἰς βυθὸν κατεῤῥίφην. Καί «ἰδόντες τὸ ἐμὸν τραῦμα φοβήθητε»[4].

Καὶ ταῦτα μὲν ὅσον πρὸς ὑπόμνησιν τῆς ὑμετέρας ἀγάπης γράψαι ἐσπούδασα, οὐκ ἀξίως τῆς ὑποθέσεως τὸν λόγον ποιούμενος. Εἴθε γὰρ [ἂν] δυνατὸν ἦν ἐπὶ τὰ τῶν ἀκροτηρίων ἐπιστάντα με σαλπίσαι διὰ τοῦ στόματός μου[5] καὶ βροντῆς δίκην ἐξαποστεῖλαι κατὰ παντὸς τοῦ κόσμου θριαμβεύοντα τὴν ἐμὴν ἁμαρτίαν. Καὶ οὐκ ἂν εἴασα τὴν οἰκουμένην εἰς βοήθειαν τοῦ κατορθώματός μου μὴ ἐπισπάσασθαι· ἀλλ' ἀδύνατον τὸ πρᾶγμα. Ἄνθρωπος γάρ εἰμι μικρόφωνος καί «ὀλιγόβιος»[6]· λοιπὸν δὲ συνεχόμενος ὑπὸ τοῦ λόγου· τολμήσω μνημονεῦσαι τῶν θείων Γραφῶν· καὶ τοῦτο παρ' αὐτὰς ποιῶν· «τῷ γὰρ ἁμαρτωλῷ», φησίν, «εἶπεν ὁ Θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά **[1065]** μου;»[7] Νῦν ἀληθῶς ἐκβοῆσαι τὸ προφητικὸν **228** ἐκεῖνο καὶ εἰπεῖν· τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων καὶ κλαύσομαι τοὺς

**1.** Πρβλ. Ματθ. 13,44. **2.** Πρβλ. Ρωμ. 9,16. Α' Κορ. 9,24-26. Γαλ. 2,2. Ἑβρ. 12,1. **3.** Πρβλ. Ματθ. 13,47 ἑξ. **4.** Ἰὼβ 6,21. **5.** Πρβλ. Ἠσ. 58,1. Ἰεζ. 33,3. **6.** Ἰὼβ 14,1. **7.** Ψαλ. 49,16.

τετραυματισμένους θυγατρὸς λαοῦ μου[1]. Εἰ γὰρ Ἱερεμίας τοὺς ἐν πολέμῳ τὰ σώματα πεπληγότας μυρίων θρήνων ἀξίους ἔκρινεν, τί ἄν τις εἴποι πρὸς τηλικαύτην ψυχῶν συμφοράν; «Οἱ τραυματίαι μου, οὐ τραυματίαι ῥομφαίας, καὶ οἱ νεκροί μου, οὐ νεκροὶ πολέμου»[2]. Οὐ περὶ νεκρῶν σωμάτων λέγει, ἀλλὰ τὸ κέντρον τοῦ ὄντως θανάτου[3], ἤ γ' οὖν τὴν χαλεπὴν ἁμαρτίαν ὀδύρεται καί «τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ»[4] ψυχὰς ὁμοῦ μετὰ σωμάτων βαρβαρικῶς καταφλέξαντα. Μεγάλα γὰρ στενάξειαν οἱ τοῦ Θεοῦ νόμοι μετὰ τῶν ἁγίων πνευμάτων τηλικοῦτον ἄλγος ἐπιβλέποντες ἐπ' ἐμοί, καὶ ἐμοὶ πικρὸν ἐξέβη τῶν γλυκείων ἐκείνων τὸ πέρας, ὦ φίλοι, καὶ πενθεῖν ἀνάγκη με πάλιν ἐφ' οἷς ἔδει με χαίρειν· «Ἄρας γὰρ τὰ μέλη τοῦ Χριστοῦ, ἐποίησα αὐτὰ πόρνης μέλη;»[5] Ἐπὶ τούτοις, τίς οὐκ ἂν πενθήσας εἴποι· «πῶς ἐγένετο πόρνη πόλις πιστή, Σιών;»[6] «Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἡ γῆ σφόδρα, λέγει Κύριος»[7]. Ἀλλ' εὔξασθαι, [τίμιοι καὶ ὅσιοι πατέρες], μνησθῆναί μου τῆς καλῆς ὁμολογίας, ἣν ὡμολόγησα ἐνώπιον τοῦ Θεοῦ καὶ Ἀγγέλων καὶ ἀνθρώπων[8]· οἱ γὰρ ἐπεισελθόντες ἀλλότριοι τῇ οἰκίᾳ τοιούτους θορύβους κινεῖν σπουδάζουσιν ὡς καὶ αὐτῆς τῆς ὁμολογίας λήθην ἐμποιῆσαι· ἀλλ' εὐχαῖς τῆς ὑμετέρας ἀγάπης «Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα»[9] μνήμης· ὅθεν ἐπέχει τὸν **230** λόγον ἡ μνήμη ὑποτρέχουσα τὸ λυπηρὸν τὴν καρδίαν, καὶ προπίπτον τὸ δάκρυον τὴν φωνὴν ἐπικόπτει· ὅταν ἐνθυμηθῶ [τὸ] περὶ τῶν συμβεβηκότων μοι δεινῶν, ὅταν ἐνθυμηθῶ ὅτι Χριστῷ ὁμολογίας δεδωκὼς ἀντιχρίστῳ ὑπετάγην, ὅταν ἐνθυμηθῶ ὅτι πνεύματι ἀρξάμενος σαρκικὸς ἀπετελέσθην[10]· οἴμοι τῷ ταπεινῷ καὶ ἐκπτώτῳ ἀπὸ ὀδύνης ἣν ὀδυνῶμαι, ἀπὸ αἰσχύνης καὶ ἀπωλείας ἀναπολογήτου· ὁ γεννηθεὶς εἰς ζωὴν[11] θανάτῳ παρεδόθην. Ἐλεήσατέ με, ὦ ἐλεήμονες πατέρες καὶ ἰατροί, ἐλεήσατε[12]. Ἀναλάβετε ἐπ' ἐμοὶ θρῆνον καὶ κόπτεσθε τὸν ἐχίδνης ἰοβόλου φαρμάκου δελεάσμασι βεβλημένον·[13] ἀναλάβετε ἐπ' ἐμοὶ θρῆνον καὶ κόπτεσθε ἐφ' ἑαυτοὺς πρὸ πληγῆς· τὰ δάκρυα

**1.** Πρβλ. Ἱερ. 8,23. **2.** Πρβλ. Ἡσ. 22,2. **3.** Πρβλ. Α' Κορ. 15,55-56. **4.** Πρβλ. Ἐφ. 6,16. **5.** Πρβλ. Α' Κορ. 6,15. **6.** Ἡσ. 1,21. **7.** Ἱερ. 2,12. **8.** Πρβλ. Α' Τιμ. 6,12. **9.** Ἡσ. 1,9. **10.** Πρβλ. Γαλ. 3,3. **11.** Πρβλ. Α' Ἰω. 3,14. **12.** Πρβλ. Ἰὼβ 19,21. **13.** Πρβλ. Σ. Σειρ. 21,2.



ὑμῶν γενέσθω προτειχίσματα κατὰ τοῦ ἀντιπάλου· χρήσατέ μοι δάκρυον δαψιλὲς οἱ τοῦτο κεκτημένοι, ὥστε καταῤῥῆξαι τῇ καρδίᾳ καὶ ἐξαλεῖψαι τοὺς ὑπὸ τῆς ἁμαρτίας ἐγγεγραμμένους νόμους[1], καὶ δέομαι ὑμῶν, ἐκκαθάρατε ταύτην πρὸς τὸ ἐγγραφῆναι τοὺς νόμους τοὺς βασιλικούς, τοὺς νόμους ἐπουρανίους. Κύριος Σαβαὼθ ἐγκατέλιπέν μοι σπέρμα πίστεως, ἵνα μὴ τελείως Σόδομα γενηθῶ[2]. Συλλιτανεύσατέ μοι, ὦ ἐλεήμονες καὶ χρηστοὶ πατέρες, τῇ τῶν Νινευϊτῶν μετανοίᾳ συσσωθῆναι, λυπηθῆναι καὶ ἐπ' ἐμοὶ τοὺς κατὰ Ἰωνᾶν τὸν Προφήτην ὑποφήτας μοι γενομένους[3]· οὐ γὰρ ἦν ἐκεῖνος ψεύστης ὡς οὔτε οὗτοι ἀλλ' ἡ τοῦ φιλαν**232**θρώπου Θεοῦ εὐσπλαγχνία τὸν ἕνα ἐλύπησεν ἢ τοὺς πολλοὺς ἀπώλεσεν[4], οὔτε δὴ ἐκεῖνο διὰ μισανθρωπίαν ἐλυπήθη, ἀλλ' ἐκινδύνευεν μὴ τὸ τῆς φιλανθρωπίας μέρος διαβολὴν κατὰ τοῦ ἀποστείλαντος ὡς ψεύστου ἐργάσηται· ἡ δὲ ὑμετέρα ἀγάπη οὐχ οὕτως· ἀλλ' οἶδα συγχαίρειν ὑμᾶς, ἐπὰν γίνηται χαρὰ ἐν οὐρανῷ ἐπὶ μετανοίᾳ ἑνὸς ἁμαρτωλοῦ[5], καὶ εὔχεσθαι ἀδιαλείπτως τὴν φιλανθρωπίαν τοῦ Θεοῦ προκαταλαβεῖν τὰ ἀπολλύμενα τῶν μελῶν· διὰ τό «συμπάσχειν πάντα τὰ μέλη[6]». Λοιπὸν γὰρ καὶ τὰ παρὰ τῆς ὑμετέρας ἀγάπης ὀφείλοντα λεχθῆναι, ἑαυτῷ διδαχθήσομαι, ὥσπερ ἀπό τινος ἀοράτου δυνάμεως συλλαβὼν λεληθότως τοὺς λόγους.

3. Καὶ γὰρ δι' «ἡμέρας καὶ νυκτός»[7] ἐν μνήμῃ τὰ τῆς παρακλήσεως τῆς ὑμετέρας ἀγάπης φέρων ἑαυτὸν ἀνακαλέσασθαι σπουδάζω, τὴν ὑμετέραν εὐχὴν εἰς βοήθειαν ἔχων· καὶ μεθ' ἡμέραν ὥσπερ διδασκαλία παρισταμένη, τῆς ὑμετέρας ἀγάπης ἡ παραίνεσις. Τῇ ψυχῇ γίνεται παράκλησις παριστῶσα τῆς ἁγίας εὐχῆς ὑμῶν τὸ διάπυρον. Τοῦτο μὲν τοῦ μακαρίου Ἰεζεκιὴλ ἐπονειδίζοντος ἐν τῇ ὑπομνήσει τῶν προτέρων εὐεργεσιῶν καὶ λέγοντος· **[1066]** «διῆλθον διὰ σοῦ καὶ εἶδόν σε, καὶ ἰδοὺ καιρός σου καὶ καιρὸς τῶν καταδυόντων σε· καὶ διεπέτασα τὰς πτέρυγάς μου ἐπὶ σὲ καὶ ἐκάλυψα τὴν ἀσχημοσύνην σου· καὶ ὤμοσά σοι καὶ εἰσῆλθον ἐν διαθήκῃ μετὰ σοῦ, λέγει Κύριος»[8], καὶ ἐγένου μοι καλὴ σφόδρα· καὶ ἔλουσά σε ἐν ὕδατι καὶ ἀπέπλυνα τὸ αἷμα ἀπὸ σοῦ καὶ ἔχρισά σε ἐν

**1.** Πρβλ. Ρωμ. 7,23. **2.** Πρβλ. Ἡσ. 1,9. **3.** Πρβλ. Ἰω. 4,1. **4.** Πρβλ. Ἰω. 4,9-11. **5.** Πρβλ. Λουκ. 15,10. **6.** Α' Κορ. 12,26. **7.** Ψαλ. 41,4. **8.** Ἰεζ. 16,8.

ἐλαίῳ καὶ **234** ἐνέδυσά σε ποικίλα καὶ ὑπέδυσά σε ὑάκινθον καὶ ἔζωσά σε βύσσον, καὶ περιέβαλόν σε τριχάπτῳ καὶ ἐκόσμησά σε κόσμῳ καὶ περιέθηκα ψέλια περὶ τὰς χεῖράς σου καὶ κάθεμα περὶ τὸν τράχηλόν σου καὶ ἔδωκα ἐνώτιον περὶ τὸν μυκτῆρά σου καὶ τροχίσκους περὶ τὰ ὦτά σου καὶ στέφανον καυχήσεως ἐπὶ τὴν κεφαλήν σου, καὶ ἐκοσμήθης χρυσίῳ καὶ ἀργυρίῳ καὶ τὰ περιβόλαιά σου βύσσινα καὶ τρίχαπτα καὶ ποικίλα, καὶ σεμίδαλιν καὶ μέλι καὶ ἔλαιον ἔφαγες, καὶ ἐγένου καλὴ σφόδρα καὶ ἐξῆλθέν σου ὄνομα ἐν τοῖς ἔθνεσιν ἐν τῷ κάλλει σου, διότι συντετελεσμένον ἦν ἐν τῇ ὡραιότητι, ἐν εὐπρεπείᾳ ᾗ ἔταξα ἐπὶ σέ, λέγει Κύριος· καὶ ἐπεποίθεις ἐν τῷ κάλλει σου, καὶ ἐπόρνευσας ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐξέχεας τὴν πορνείαν σου ἐπὶ πάντα πάροδον»[1]· «καὶ ἔλαβες ἐκ τῶν ἱματίων σου καὶ ἐποίησας σεαυτῇ εἴδωλα ῥαπτά, καὶ ἐξεπόρνευσας ἐν αὐτοῖς· καὶ οὐ μὴ εἰσέλθῃς, οὐδ᾽ οὐ μὴ γένηται· καὶ ἔλαβες τὰ σκεύη τῆς καυχήσεώς σου ἐκ τοῦ ἀργυρίου μου καὶ ἐκ τοῦ χρυσίου μου, ἐξ ὧν ἔδωκά σοι, καὶ ἐποίησας σεαυτῇ εἰκόνας ἀρσενικὰς καὶ ἐξεπόρνευσας ἐν αὐταῖς»[2]. Τοῦ δὲ μακαρίου Ἱερεμίου ἐμβοῶντος καὶ λέγοντος ἐπὶ τούτοις· μὴ ὁ πεσὼν οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει[3]; «Μὴ ῥητίνη οὐκ ἔστιν ἐν Γαλαάδ, ἢ ἰατροὶ οὐκ εἰσὶν ἐκεῖ;»[4] Εἶπα γὰρ μετὰ τὸ πορνεῦσαι αὐτὴν ταῦτα πάντα· πρός με ἀνάστρεφον, ἀλλ᾽ ἐπὶ τούτοις δέδια μή ποτε ἡ ὑμετέρα εὐλάβεια ὑπολάβῃ ἡμᾶς ὡς διδασκαλίας λόγους ποιεῖσθαι οὐ μὰ τὴν ὑμετέραν ἐλπίδα ἣν ἔχετε πρὸς τὸν Θεόν[5], ἀλλ᾽ ὥσπερ οἱ συνεχόμενοι ὑπὸ δεινῶν ἀλγηδόνων ἐπὰν τὸ πάθος τοῖς ἰατροῖς ἀνατιθῶνται τῇ ἐλπίδι τῶν βοηθημάτων τὰς ὀδύνας καταπαύουσιν· οὕτω κἀγὼ ἐκ τῆς περὶ τὴν ὑμετέραν ἀγάπην ὁμιλίας ὡς ἤδη διορθωθέντων τῶν τραυμάτων, εὐελπιστότερος γέγονα· αὐτῆς **236** τῆς μνήμης ὑμῶν τὴν παράκλησιν ἐν τῇ καρδίᾳ λεληθότως φῶς ἐργασαμένης. Δέομαι τοίνυν ὑμῶν, ὦ τῶν Χριστιανῶν θεῖος σύλλογος, τὸ ἅγιον ἄθροισμα[6], ὦ ἱερὸς λαός, δεήθητε ὑπὲρ ἐμοῦ· διότι οὐκ ἔτι φέρω μὴ εὑρηθῆναί με ἔξω τῆς ποίμνης[7], ἔξω τῆς σα-

1. Ἰεζ. 16,9-15. 2. Ἰεζ. 16,16-17. 3. Πρβλ. Ἱερ. 8,4. 4. Ἱερ. 8,22. 5. Πρβλ. Πράξ. 24,15. 6. Πρβλ. Α' Πέτρ. 2,9. 7. Πρβλ. Ἰω. 10,16.



γήνης[1], ἀλλ᾽ ἔνδον τοῦ ἀμπελῶνος[2], ἔσω τοῦ Παραδείσου, ἵνα σὺν ὑμῖν «εὑρεθῶ ἐν αὐτῷ»[3] καί «ἰδόντες τὸ ἐμὸν τραῦμα φοβήθητε»[4]. Οὔτε γὰρ ὁμολογεῖν αἰσχύνομαι, οὔτε πλειστάκις λέγειν ὀκνῶ. Ἠσχύνθη γὰρ ὅτε ᾐσχύνθην[5].

Καὶ ἀναγνόντες μου τὴν ἐπιστολήν, διαπέμψασθε πάσῃ τῇ ἀδελφότητι, ἀδιαλείπτως εὐχόμενοι πρὸς τὸ ἐπιστρέψαι ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ, ἵνα σώσητε καὶ τὰς ἑαυτῶν ψυχὰς καὶ καλύψητε πλῆθος ἁμαρτιῶν[6]· καὶ μέχρι μὲν τούτου καταπαύσω τὸν λόγον.

4. Πρὸς σὲ δέ μοι ὁ λόγος, ὦ ποθεινότατε καὶ θεοφιλέστατε ἀδελφὲ καὶ πάτερ. Καὶ γὰρ ὡς πατέρα ἐπιγράψασθαι καὶ ὡς ἀδελφῷ τὰ πρέσβεια δοῦναι οὐδέποτε ἀμφέβαλον. Ἀπαιτῶ γάρ τι πλέον σε τῆς κοινῆς ἀδελφότητος· ὥσπερ οἱ νέοι τῶν παίδων, κἂν ἀσχημόνως παίζωσιν εἰς κόλπους πατέρων, οὐδέποτε τοῦ πατρικοῦ σπλάγχνου ἀποθέσθαι ἐλπίζουσι, τῇ ὑπερβολῇ τῆς πατρικῆς διαθέσεως πεποιθότες, ἀλλ᾽ ἐμοὶ καὶ ταῦτα ἤρκεσεν· κἀγὼ μὲν ἴσως ἀξίαν τὴν τιμωρίαν τῶν πραττομένων ὑπέχω, ἀλλὰ ἀναμιμνῄσκου μου αὐτός, θεοφιλέστατε πάτερ, μὴ πῶς ἀσπλαγχνίας δίκην δῷς ἐπὶ τῷ δικαιοκρίτῃ **238** Θεῷ[7]· Θεὸς γὰρ οἶδεν ὡς ἐν τῇ μνήμῃ τῆς σῆς γλυκύτητος ὑπερνικᾷ τὰ δάκρυα τῶν λογισμῶν καὶ ἐπέχει τὸν λόγον· ὅθεν ἐνταῦθα καταπαύσω τοῦ λέγειν. Θεὸς δὲ ἔσται Κριτὴς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ[8], γλυκύτατε καὶ θεοφιλέστατε, ὅτι αὐτοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Πρβλ. Ματθ. 13,47. 2. Πρβλ. Ἰω. 15,4. 3. Φιλιπ. 3,9. 4. Ἰὼβ 6,21. 5. Πρβλ. Λουκ. 9,26. 6. Πρβλ. Ἰακ. 5,20. 7. Πρβλ. Ἰακ. 2,13. 8. Πρβλ. Α' Βασ. 24,16.

# ΠΙΝΑΞ

# ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ


Σελ.

Γεν. 1 (κεφ.) ... 182
1,27 ... 109
1,36 ... 182
2,2 ... 187
2,7 ... 118. 119
2,16 ... 48
2,17 ... 213
3,3 ... 219
5,1 ... 109
12,2 ... 66
12,2-3 ... 86
15,5-7 ... 217
15,6 ... 23
15,7-11 ... 216
15,8 ... 217
15,9 ... 225
15,9-11 ... 217
15,10 ... 226
15,11 ... 217. 226
15,12 ... 217. 226
24,12-14 ... 227
24,14 ... 227
25,23 ... 54
26,4 ... 66
27,34 ... 193
27,39 ... 193
27,41 ... 193

Ἐξ. 4,22 ... 152
9,16 ... 55
13,21 ... 106
14,22 ... 106
16,4 ... 106
16,35 ... 106
17,6 ... 106
26,33 ... 191
33,19 ... 55
34,28 ... 218

Λευϊτ. 26,12 ... 196

Ἀριθ. 14,28 ... 81
14,33 ... 21
24,17 ... 66

Δευτ. 6,16 ... 220
8,3 ... 218

Α' Βασ. 3,3 ... 190
24,16 ... 237
28,7 ἑξ. ... 221

Γ' Βασ. 19,8 ... 218
19,11-13 ... 218
19,18 ... 67

Ψαλ. 2,3 ... 187
8,5 ... 204
12,5 ... 232
13,4 ... 22
15,11 ... 142
17,18 ... 52
18,5 ... 66
23,24 ... 52
31,2 ... 23
32,6 ... 145
33,9 ... 232
33,19 ... 197
41,4 ... 235
49,16 ... 233
50,13 ... 197

54,19 ........................181
67,19 ........................143
77,25 ........................215
81,6-7........................49
88,27 ........................152
89,8 ..........................126
94,11 ........................187
101,28 ........................82
109,4 ........................189
146,10-11 ..................197

Ἰὼβ 3,14 ........................234
6,21 .......231.232.233.237
14,1 ..........................233
19,21 ........................234

Παρμ. 18,19 ........................232

Σ. Σειρ. 21,2 ..........................234
31,17 ..........................84

Ὠσ. 4,12 ..........................21
8,14 ..........................63
8,16 ..........................63
8,28 ..........................63
10,22 ..........................61

Ἰωὴλ 3,5 ............................64

Ἀγγ. 2,6 ..........................193
2,21 ..........................64

Ζαχ. 7,1 ..........................145

Μαλ. 1,2-3..........................55

Ἡσ. 1,9...................234. 235
1,21 ..........................234
7,16 ..........................200
22,2 ..........................234
45,18 ..........................81
45,21 ........................183
49,18 ..........................81
52,7 ............................65
53,1.....................66. 125
58,1 ..........................233

Ἱερ. 1,1 ..........................145
2,12 ..........................234
8,4 ............................236
8,22 ..........................236
8,23 ..........................234
17,11 ........................232

Ἰεζ. 16,8 ..........................235
16,9-15 ......................236
16,16-17 ....................236
33,3 ..........................233

Ματθ. 1,21 ..........................205
3,14 ..........................206
3,17 ..........................202
4,1-11 ........................218
4,3...................207. 218
4,4...................207. 218
4,5 ............................219
4,7 ............................220
4,8 ............................219
4,10 ..........................220
4,17 ..........................218
4,23 ..........................218
5,45 ............................52
6,9.....................46. 203
13,44 ........................233
13,47 ........................237
13,47 ἑξ......................233
17,1-2........................221
17,3 ..........................221
19,6 ..........................202
19,11 ........................102
24,3 ..........................223
24,7 ..........................223
26,37 ........................224
26,43 ........................224
26,44 ........................224





28,19 ............................13
28,20...................13. 126

Μάρκ. 1,13.................219. 220
1,24 ..........................218
6,40 ..........................220
9,2 ............................221
9,4 ............................221
13,8 ..........................223
14,36 ..........................46
14,40 ........................224

Λουκ. 1,26-35 ......................195
1,31-32 ......................206
1,35 ..........................209
1,78 ..........................211
2,52 ..........................201
4,1-2 ...............219. 220
4,1-13 ........................218
4,3 ............................218
4,5 ............................219
4,8 ............................220
4,9 ............................219
4,12 ..........................220
4,34 ..........................218
4,41 ..........................218
7,16 ..........................211
8,12 ..........................225
9,14 ..........................220
9,14-15 ......................220
9,26 ..........................237
9,30 ..........................221
10,4-8 ........................105
10,7 ..........................105
12,33 ........................222
15,7 ............................48
15,10...................48. 235
18,22 ........................222
21,10-11 ....................223
21,28 ........................223
22,42-43 ....................223
22,43-44 ....................203
22,45-46 ....................223
22,47 ........................223
23,4 ..........................224
23,7-9 ........................225
23,11-12 ....................225

Ἰω. 1,1 ............................119
1,14 ..........................203
1,26 ..........................106
3,13 ..........................203
3,33 ..........................146
4,1 ............................235
4,9-11 ........................235
4,20 ..........................122
4,24 ..........................122
5,19 ..........................210
10,16 ........................236
14,10 ........................210
14,11 ........................210
14,23 ........................210
15,4 ..........................237
16,12-13 ......................12
17,22 ........................202
21,25 ........................224

Πράξ. 1,3-4..........................224
1,8 ..............................12
1,9-10..........................13
2,1 ἑξ............................13
2,44 ..........................223
4,32 ..........................223
8,1 ..............................13
8,4 ..............................13
8,5 ἑξ. ..........................13
8,26 ἑξ..........................13
10,1 ἑξ..........................14
10,38 ........................230
10,44 ............................14
11,19 ἑξ........................13
11,22 ............................13

11,25 ....................14
12,2 ....................194
13,46 ....................13
15,1 ἑξ....................15
15,28 ....................15
17,30-31 ....................230
18,2 ....................90
19,14 ....................113
20,28 ....................168
24,15 ....................236

Ρωμ. 1,1 ....................17
1,3 ....................209
1,7 ....................17
1,8 ....................17
1,8-15 ....................87
1,9 ....................18
1,10 ....................18
1,11 ....................19
1,13 ....................19
1,15 ....................19
1,16 ....................13
1,18 ....................19
1,20 ....................23
1,25 ....................20
1,26 ....................20
2,2 ....................20
2,16 ....................21
2,17 ....................21
2,20 ....................21
2,29 ....................21
3,2 ....................110
3,27 ....................22. 42. 62
3,28 ....................23. 47
3,29 ....................215
3,30 ....................23
4,1 ....................86
4,8 ....................23. 86
4,11 ....................23
4,12 ....................86
4,14 ....................147
4,17 ....................93. 182
4,24 ....................211
5,1 ....................44
5,11 ....................24
5,12 ....................25. 26
5,13 ....................24
5,14 ....................24. 29
5,15 ....................25
5,16 ....................25
5,17 ....................26
5,18 ....................26
5,19 ....................26
5,21 ....................26. 27
6,3 ....................27
6,3-5 ....................12
6,5 ....................27
6,6 ....................28. 98
6,12 ....................28
6,12-13 ....................75
6,13 ....................28
6,15 ....................29
6,17 ....................30
6,19 ....................30
6,21 ....................30
7,4 ....................31
7,5 ....................31. 33
7,6 ....................33
7,7 ....................34. 35
7,8 ....................34. 35
7,9 ....................36
7,10 ....................36. 38
7,11 ....................36
7,12 ....................36
7,13 ....................37. 38
7,14 ....................39. 40
7,18 ....................40
7,19-20 ....................40
7,21 ....................41



7,22 ....................41
7,23 ....................235
7,25 ....................42
8,2 ....................42
8,3 ....................43
8,4 ....................43
8,5 ....................44
8,6 ....................44
8,9 ....................44. 45. 98
8,14 ....................47
8,15 ....................46
8,16 ....................46
8,17 ....................47
8,18 ....................47
8,19 ....................47. 49
8,20 ....................49
8,21 ....................49
8,22 ....................49
8,23 ....................51
8,24 ....................50
8,25 ....................50
8,26 ....................50. 51
8,27 ....................51
8,28 ....................52
8,37 ....................53
8,38 ....................53
8,39 ....................53
9,3 ....................54
9,5 ....................54
9,10 ....................54
9,11 ....................55
9,12 ....................54
9,13 ....................55
9,14 ....................55
9,16 ....................55. 233
9,18 ....................56
9,19 ....................56. 57
9,20 ....................56. 57. 58. 66
9,21 ....................58
9,22 ....................59
9,24 ....................60
9,25 ....................61
9,30 ....................61
9,31 ....................62. 68
9,32 ....................63
9,33 ....................63
10,2 ....................63
10,13 ....................64
10,14 ....................64. 66
10,15 ....................65
10,16 ....................65
10,17 ....................66
10,18 ....................57. 66
10,19 ....................66
11,1 ....................67
11,3-5 ....................67
11,7 ....................68
11,9 ....................69
11,11 ....................69
11,12 ....................70
11,15 ....................71
11,16 ....................72
11,20 ....................72
11,21 ....................72
11,22 ....................73
11,25 ....................73
11,26 ....................73
11,28 ....................73
12,1 ....................74
12,3 ....................75. 76
12,5-6 ....................76
12,8 ....................76
12,10 ....................76
12,13 ....................77
12,16 ....................77
12,17 ....................77
13,1 ....................98
13,5 ....................77
13,7 ....................78
13,8 ....................78

13,10 ... 78
13,11 ... 79
13,12 ... 79
13,14 ... 79. 80
14,5 ... 80
14,8 ... 81
14,9 ... 81
14,10 ... 81
14,11 ... 183
14,13 ... 82
14,14 ... 83
14,15 ... 83
14,17 ... 83
14,20 ... 84
14,22 ... 84
14,23 ... 84
15,1 ... 85
15,5 ... 85
15,7 ... 85
15,8 ... 85
15,9-12 ... 87
15,10 ... 66
15,14 ... 87
15,15 ... 88
15,22 ... 88
15,24 ... 89
15,28 ... 89
15,29 ... 89
15,30 ... 89
15,31-33 ... 89
16,3 ... 90
16,18 ... 90
16,23 ... 90

Α΄ Κορ. 1,1 ... 91
1,2 ... 91
1,7-8 ... 91
1,12 ... 91
1,17 ... 92
1,18 ... 92
1,22-24 ... 92
1,25 ... 95
1,27-29 ... 32
1,28 ... 93
1,29 ... 93
2,6 ... 104
2,6-7 ... 93
2,12 ... 93. 228
2,12-13 ... 94
2,13 ... 94
3,1 ... 95
3,3 ... 95
3,4 ... 91
3,9 ... 94
3,14 ... 94
3,15 ... 94. 95
3,16 ... 95
3,18 ... 95
3,19 ... 95
3,21 ... 95
3,22 ... 91. 96
4,6 ... 96
4,7 ... 96
4,8 ... 96
4,9 ... 47. 93
4,10 ... 96. 97
4,12-13 ... 96
4,14 ... 97
4,18-19 ... 97
5,5 ... 97
5,7 ... 98
6,1-2 ... 99
6,2 ... 96
6,3 ... 99
6,4 ... 99
6,5 ... 99
6,9-10 ... 111
6,11 ... 100
6,12 ... 100
6,13-14 ... 101



6,15 ... 101. 234
6,16-17 ... 101
6,18 ... 101
7,5 ... 102
7,8 ... 166
7,14 ... 102
7,17 ... 102
7,18 ... 102
7,25 ... 103
7,26 ... 103
7,28 ... 103
7,29 ... 103
7,31 ... 103
7,36 ... 104
7,37 ... 104
7,39 ... 104
8,1 ... 104
8,4 ... 104
8,5 ... 104
8,10 ... 104
8,13 ... 105
9,5 ... 105
9,13-14 ... 105
9,14 ... 105
9,15 ... 105
9,17-18 ... 105
9,18 ... 100
9,20 ... 105
9,21 ... 106
9,22 ... 105
9,24 ... 106
9,24-26 ... 233
9,25 ... 106
9,26 ... 106
10,1 ... 106
10,2 ... 106
10,3-4 ... 106. 107
10,4 ... 106
10,6 ... 107
10,7 ... 108
10,22 ... 108
11,3 ... 109
11,4-5 ... 109
11,7 ... 109
11,18 ... 110
11,20 ... 110
11,20-22 ... 110
11,23 ... 110
11,26 ... 111
11,28 ... 111
12,1 ... 112
12,7 ... 112
12,8-10 ... 19
12,10 ... 112
12,23-24 ... 113
12,26 ... 235
12,27 ... 113
13,1 ... 113
13,4 ... 114
13,8-9 ... 114
13,13 ... 114
14,1 ... 114
14,2-4 ... 115
14,5 ... 115
14,14 ... 115
14,16 ... 115. 121
14,26 ... 116
14,27-28 ... 116
14,29 ... 116
14,34-35 ... 116
14,36 ... 116
14,37-38 ... 116
14,40 ... 116
15,1-2 ... 117
15,4 ... 118
15,10 ... 117. 184
15,14 ... 148
15,23 ... 117
15,24 ... 118
15,25 ... 118

15,36 .....118
15,42 .....119
15,44 .....42
15,45 .....119
15,45-47 .....230
15,46-47 .....119
15,47 .....119. 230
15,48-49 .....119. 230
15,50 .....31. 32
15,50-51 .....119
15,52 .....120
15,55-56 .....234
15,56 .....120

Β' Κορ. 1,3 .....120
1,6 .....120
1,15 .....121
1,20 .....121
1,24 .....121
2,5 .....124
2,13 .....121
3,7-8 .....122
3,11 .....122
3,17 .....122
4,7 .....123
4,14 .....123
5,9 .....123
5,11 .....123
5,14 .....123
5,17 .....12
6,6 .....123
6,16 .....196
8,23 .....124
10,3 .....124
10,5 .....124
10,6 .....124
11,29 .....124
12,4 .....125
13,11 .....125

Γαλ. 1,3 .....135
1,4 .....126. 127
1,6 .....127
1,7 .....127
1,8 .....127
1,13-14 .....14
1,15 .....128
1,15-16 .....14
2,1 .....77
2,2 .....233
2,9 .....180
2,29 .....128
3,1 .....232
3,3 .....128. 234
3,12 .....128
3,13 .....129
3,16 .....129
3,17 .....129
3,18 .....129
3,19 .....129
3,21 .....130
3,22 .....130
3,23 .....130
3,24 .....65. 66
3,25 .....130
3,27 .....131
3,28 .....131
3,29 .....131
4,1 .....131
4,2 .....131
4,3 .....131
4,4-5 .....229
4,6 .....46. 132
4,7 .....132
4,19 .....132
4,20 .....132
4,24 .....45. 133
4,25 .....133
4,29 .....134
4,30 .....134
5,8 .....134





5,15 .....134
5,17 .....134
6,2 .....135
6,11 .....135
6,16 .....135
6,17 .....135

Ἐφ. 1,1 .....136
1,2 .....135
1,3 .....137
1,4 .....137
1,5 .....137
1,6 .....138
1,9 .....138
1,10 .....138
1,13 .....138
1,14 .....139
1,15 .....139
1,17 .....139
1,18 .....139
1,20 .....153
1,21 .....229
1,23 .....139
2,2 .....47
2,5 .....14
2,8 .....140. 185
2,10 .....140
2,13 .....140
2,14 .....140
2,15 .....140
2,16 .....140
2,20 .....141
2,21 .....141
3,2 .....141
3,3 .....141
3,4 .....141
3,14 .....141
3,15 .....141
3,18 .....142
3,19 .....142
4,4 .....142
4,5 .....142
4,6 .....142
4,7 .....143
4,8 .....143
4,17 .....143
4,18 .....143
4,19 .....143
4,20 .....144
4,21 .....144
4,22 .....144
4,23 .....144
4,24 .....144
5,20 .....77
5,30 .....145
5,32 .....145
6,16 .....234
6,17 .....145
6,24 .....145

Φιλιπ. 1,1 .....146. 167
1,2 .....135
1,5 .....139
1,7 .....146
1,8 .....146
1,9 .....146
1,10 .....147
1,11 .....147
1,12 .....147
1,13 .....147
1,14 .....147
2,6 .....21. 211
2,7 .....148. 211
2,16 .....148
2,17 .....148
2,18 .....148
3,1 .....148
3,2 .....149
3,3 .....149
3,6 .....14

3,7 149
3,8 149
3,9 237
3,13 149
3,14 150
3,15 150
3,16 150
3,17 150
3,18 150
3,19 150
4,2 151
4,3 151
4,10 151

Κολ. 1,1 136
1,4 139
1,13 152
1,15 152. 153
1,16 152
1,18 153
1,22 137
1,23 153
1,24 153
1,25 153
1,27 154
2,2 154
2,3 154
2,13 154
2,15 154
2,17 107
2,18 155
2,23 155
3,1 156
3,3 156
3,9 98
4,17 156

Α΄ Θεσ. 1,1 157
1,2-3 157
1,4-5 157
1,6 157
1,8 157
1,9 157
1,10 158
2,5 158
2,7 158
2,18 158
3,4 158
4,4 158
4,5 158
4,13 32
4,14 158
4,15 159
4,16 120. 159
4,17 159

Β΄ Θεσ. 1,10 160
2,1 160
2,2 160
2,6 161
2,7 161
2,8 161
2,11 162
2,12 162

Α΄ Τιμ. 1,1 135
1,3 163
1,4 163
1,17 164
2,12 164
2,14 164
3,2 165. 167
3,5 76
3,15 169
3,16 206
4,1 169
4,3 170
4,13 170
4,14 170
5,4 170
5,9 171
5,10 171





5,11 171
5,12 171
5,24 171
5,25 171
6,4 172
6,5 172
6,12 172. 234
6,15 172
6,16 172

Β΄ Τιμ. 1,1 136
1,7 46. 174
1,12 174
2,8 211
3,2 175
3,3 175
3,4 175
3,7 175
4,4 175
4,10 175
4,12 174
4,13 176

Τίτ. 1,1 177
1,4 177
1,5 141. 167. 177
1,7 167
1,12 177
1,13 177
1,15 83. 177
2,3 178
3,5 95. 98

Φιλήμ. 1 179
2 179
11 179
16 179

Ἑβρ. 1,1 205
1,2 181. 204. 205
1,3 181
1,5 205
1,12 82
1,14 48. 183
2,1 183
2,2 155. 231
2,3 183
2,4 184
2,6-8 211
2,7 211
2,9 185. 192. 211
2,10 185. 204. 205 211. 229
3,13 187
3,14 186
3,16 186
3,17 186
4,1 187
4,2 187
4,3 187
4,7 187
5,6 189
5,7 32
5,8 120
6,4-6 193
6,18 188
6,20 188. 189
7,3 189. 195. 209
7,11 189
7,17 189
7,20 190
7,21 189. 190
7,22 190
7,26 14
9,1 190
9,1-7 188
9,2 191
9,8 188
9,28 191
10,1 107
10,5 191
10,26 191

10,27 ........................ 191
10,32 ........................ 193
10,35 ........................ 231
11,1 ........................ 192
11,2 ........................ 192
11,9 ........................ 217
11,19 ........................ 192
11,39-40 ........................ 159
12,1 ........................ 192. 233
12,12-13 ........................ 193
12,16 ........................ 193
12,17 ........................ 193
12,22 ........................ 152
12,26 ........................ 193
13,7 ........................ 194
13,16 ........................ 194
13,22 ........................ 180. 194
13,23 ........................ 180

Ἰακ. 2,13 ........................ 237
2,20-26 ........................ 114
5,20 ........................ 237

Α΄ Πέτρ. 2,9 ........................ 236

Α΄ Ἰω. 1,3 ........................ 232
3,14 ........................ 234


# ΠΙΝΑΞ
# ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ κ. Διονυσίου Κακαλέτρη, Θεολόγου)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος. β) Ὅταν πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος εὑρίσκηται τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.


Ἄβατον 188,25.
Ἀβραὰμ 67,9. 72,16. σελ. 86. 129,4,15. 131,16. 163,17. σελ. 216. σελ. 217. σελ. 226. 229,1. Ἡ τοῦ — συγγένεια 67,6.
Ἀγαθὸν 37,12,16. σελ. 38. 40,8. σελ. 52. 53,19. 59,16,18. 70,1. 72,2,4. 87,29. 92,28. 135,16. 160,8. 164,7. 200,24. 207,15. — πρόξενος γίνεται ὁ Θεὸς 52,24. Κτίσις τῶν — 139,23. Τὰ μέλλοντα — 46,3. 88,21.
Ἀγαθότης 117,23. 185,9.
Ἄγαμος 166,14.
Ἀγάπη σελ. 54. 77,2. σελ. 78. 83,10. 113,25. σελ. 114. 131,21. 137,21. 142,15. 146,24. σελ. 152. 174,22. 232,19,24. 233,6,19. 234,20. σελ. 235. 236,26. Ἀνυπόκριτος — 76,26. Ἡ περὶ τὸν Χριστὸν — 53,20,26. 54,3. 123,15. Ἡ τῆς — φύσις 53,23. Ἡ — τοῦ Χριστοῦ 54,8.
Ἄγαρ σελ. 133.
Ἄγγελος 47,13. 48,4. 49,12. 53,11. 93,24. 99,14,17. 127,27. 129,27. 152,20. σελ. 155. 183,29. 185,6. 203,22. σελ. 211. 216,25. 221,26. 223,2,26. σελ. 224. 234,17. Ἄρτος — 215,9.
Ἁγιασμὸς 100,3.
Ἅγιος 51,30. 77,11. 96,9. 99,6. 125,7. 142,10,13. 160,21. 196,9. Αἱ χρεῖαι τῶν — 77,8. Ἡ τῶν — ὁδὸς 188,22.
Ἁγιότης 119,14.
Ἁγνεία 123,18.
Ἄγνοια 108,22. 123,19. 230,26. Ὁ τῆς — καιρὸς 79,16.
Ἁγνότης 123,18.
Ἀγνωμοσύνη 86,16.
Ἀγνωσία 63,26.
Ἀγορὰ 217,3.
Ἀγχίνοια 210,30.
Ἀγωγὴ 15,1. 124,7.
Ἀγὼν 233,10.
Ἀδὰμ σελ. 24. 25,5,24. 26,3,14. 31,11,13. 34,23. 35,5,23. σελ. 36 37,17. 48,10. 109,4. 118,20,21. 130,28. 144,28. 213,3. 219,9. σελ. 230.
Ἀδελφὸς 82,20,28. 83,9,11. 193,19. 232,20.
Ἀδελφότης 237,13.
Ἅδης 232,18.
Ἀδιάκριτον 71,9.
Ἀδιαφορία 124,3.
Ἀδικία 75,1. 99,5. 162,2,3. 208,8.
Ἀθανασία 28,16. 42,26. 43,17. 45,6. 49,6. 98,2,5. 128,19. 131,3.

134,21. 139,4. 140,20. 141,2. 145,11. 172,25. — ὑπόσχεσις 183,27.
Ἀθάνατος 32,12. 44,15,23. 45,9. 49,20. 62,25. 71,1. 133,3. 218,21.
Ἄθλησις 193,7.
Αἰγύπτιος σελ. 107. 226,10.
Αἴγυπτος 133,15. σελ. 225. 226,8.
Ἀΐδιον 218,22. Τὸ τῆς βασιλείας — 182,23.
Αἰθιοπία 13,26.
Αἷμα 101,23. 107,25. 110,19. 118,17. 119,22. 148,20. 203,24. 235,32. Τὸ σωτήριον — 107,9.
Αἴνιγμα 60,4.
Αἶξ 216,21. 217,13. 225,22,23. 226,2.
Αἵρεσις 56,11. 80,27.
Αἴσθησις 50,4.
Αἰσχρότης 179,11.
Αἰσχύνη 234,27.
Αἴτησις. Ἀγαθὴ — 227,16.
Αἰτία 61,24. 123,2. 164,21. 180,21. 216,8.
Αἰὼν 181,8. 182,22. Μέλλων — 80,10. 124,9. 126,23. 133,21. 138,24. 144,10. 148,16. Ὁ πρὸ — 210,25,27. Παρὼν — 80,13.
Ἀκάθαρτος 177,24.
Ἀκοὴ 64,25. 125,2. Ἡ — διὰ ρήματος Θεοῦ 66,5.
Ἀκολασία 20,15.
Ἀκολουθία 35,30. 50,21. 55,9. 60,21. 76,9. 93,5. 103,9. 129,25. 185,10. 186,15,23. 191,26. 203,27. — τοῦ λόγου 120,17. Ἡ τῆς ἐννοίας — 160,5.
Ἀκρασία 102,2.
Ἀκρίβεια 12,18. 84,10. 128,25. σελ. 221.
Ἀκρόασις 226,17.
Ἀκροβυστία 154,14,16.
Ἄλγος 144,1.
Ἀλήθεια 12,21. 15,20. 20,4. 46,28. 61,18. 86,28,31. σελ. 92. 113,8. 114,10. 127,26,29. 161,28. 169,16. 163,29. 175,17. 189,29. 204,17. 221,16,17. Ἑδραίωμα τῆς — 169,15. Ἐπιθυμία τῆς — 172,14. Τὰ τῆς — δόγματα 139,13.
Ἀλλαγὴ 120,4.
Ἀλληγορία 133,10.
Ἀλλοτρίωσις. Ἡ ἀπὸ τοῦ Θεοῦ — 74,5. 97,19.
Ἁμάρτημα 32,30. 34,3. 35,2. 36,3. 37,26. 40,12. 79,5. 83,20. 84,28. 100,21. 101,12,18. 154,17. 191,24. 193,17. Λύσις — 183,26.
Ἁμαρτία 23,14,25. σελ. 24. 25,11. σελ. 26. 27,10,12. 28,22,24. σελ. 29. σελ. 30. 32,25. σελ. 33. σελ. 34. 35,12. 36,11. σελ. 37. σελ. 38. 39,6,20. σελ. 40. σελ. 41. σελ. 42. σελ. 43. 44,8. 45,1,3. 74,30. 75,1. 84,19. 101,24. 111,10,11. 119,10. 120,9. 126,20,24. 127,1. 128,19. 130,6. 154,19. σελ. 191. σελ. 213. 219,14. 233,23. 234,6. 235,3. 237,8. — ἐπίγνωσις 35,32. — οὐκ ἐλλογεῖτο μὴ ὄντος νόμου 24,3. Παλαιὰ — 98,12.
Ἁμαρτωλὸς 48,4. 219,12.
Ἀμετάθετον 194,1.
Ἀμετρία 27,4.
Ἀμήτωρ 189,4,17. 195,9. 209,29.
Ἄμμος 118,13.



Ἀμφισβήτησις 99,10.
Ἀναγέννησις 141,8. 142,17. 145,9. 202,6. Ἡ τοῦ Πνεύματος — 144,11.
Ἀνάγκη 15,6. 23,3. 79,27. 83,11. 103,10. σελ. 104. 111,22. 170,7. Θεία — 112,14.
Ἀνάγνωσις 62,11. 169,24. 194,15.
Ἀναγνώστης 169,19.
Ἀνάθεμα 230,32.
Ἀναίρεσις 158,2.
Ἀνάκτησις 152,28.
Ἀνάληψις 200,12.
Ἀνάστασις 12,1,26. 13,10. 12,26. 25,15,17. 26,16. 27,28. 28,14. 31,15. 42,21. 45,8,15. 49,5,17. 70,4,32. 72,1. 79,7,25. 81,9. 83,15. 97,28. 98,1. 101,1. 109,1. σελ. 117. 118,11,16. 119,5,19. 123,5. 128,8,18. 131,3. 134,8. 139,3. σελ. 140. 141,1. 145,9. 153,20. 190,10. 192,9. 200,12. 213,13,15. Ἐλπὶς — 188,15. Ἡ τῆς — μετουσία 127,7.
Ἀνδρεία 224,2,12.
Ἄνεσις 89,25.
Ἀνὴρ 96,3. 103,7. 108,26. σελ. 109. 144,25. 145,6. 151,6. 164,18. 167,10. 168,21. 171,6. 179,8. 192,7. 199,32. 202,16. 216,1. 230,29. Μιᾶς γυναικὸς —165,30.
Ἀνθρώπινον 199,30. 202,4.
Ἄνθρωπος σελ. 25. 26,19. 35,22. 47,13,15. 49,8. 53,22. 69,30. 70,27. 75,8. 78,6. 83,18. 84,1. 88,18. 93,19,25. 95,20. 111,12. 118,19. 119,1,13. 126,18. 133,3. 141,10. 143,18. 148,6. 152,5. 161,10,13. 171,21,25. 172,1,2. 173,2. 185,4,30. σελ. 196. σελ. 199. 200,30. σελ. 201. 202,25,32. σελ. 204. 205,7,26. 206,12,27. 207,2,18. σελ. 208. 209,12. σελ. 210. σελ. 211. 213,2. 215,9. 219,22. 220,7. σελ. 223. σελ. 224. 225,32. σελ. 229. 230,27. 233,25. 234,17. — ἐκ γῆς χοϊκὸς 230,18. Βαπτιζόμενος — 206,23. Οἱ ἄτοποι τῶν — 60,23. Ὁ παλαιὸς — 144,14. Πνευματικὸς — 94,5. Φονικὸς — 118,6.
Ἀνθρωπότης 203,2. 220,13.
Ἀνθρωποτόκος 208,12.
Ἄνοια 68,7.
Ἀνομία 22,12.
Ἄνομος 161,11.
Ἀνταπόδοσις 59,23. 186,17. Καιρὸς — 192,16.
Ἀντίθεσις 100,10. 222,5.
Ἀντιόχεια 13,27. 14,2.
Ἀντίρρησις 67,3. 220,29.
Ἀντιστροφὴ 210,30.
Ἀντίχριστος 161,9. 234,24.
Ἀνωμαλία. Πᾶσα — πραγμάτων ἀνήρηται 131,10.
Ἀξία 130,20. 190,5. 206,13. 214,5.
Ἀξίωμα 206,28.
Ἀπαλλαγὴ 192,3. Κακῶν — 50,7.
Ἀπανθρωπία 171,11.
Ἀπαρχὴ σελ. 72. — τοῦ Πνεύματος 52,2.
Ἀπάτη 90,7. 164,21.
Ἀπάτωρ 189,4,16. 195,13.
Ἀπείθεια 47,24. 95,3.
Ἀπέχθεια 20,21. 63,19.
Ἀπιστία 63,5. 69,9. 73,5. 114,9. 186,13. 177,25.
Ἀποβολὴ 61,23. 63,18. 68,31.

Ἀπόγνωσις 73,16.
Ἀπόδειξις 35,23. 52,26. 56,18. 60,19. 67,10. 94,12. 137,16,23. 163,29.
Ἀπόδοσις 192,19.
Ἀποκάλυψις 116,2. 125,2,4. 139,18. 141,15. 145,19. 159,4. 161,9. — τῶν Υἱῶν τοῦ Θεοῦ 49,5.
Ἀποκατάστασις 213,14.
Ἀπόκρισις 52,10. 57,10. 56,16,29.
Ἀπόλαυσις 42,27. 46,3,23. 71,26. 131,28. 133,28. 138,26. 142,8,9. 149,22. 192,23. — τῶν ἀγαθῶν 59,30. Ἡ τῆς δωρεᾶς — διὰ τοῦ Χριστοῦ προσγεγονυῖα ἡμῖν 26,4. Ἡ τῶν καλῶν — 91,18. Χάριτος — 29,26.
Ἀπολινάριος 209,1.
Ἀπολλὼς 91,24.
Ἀπολογία 20,2.
Ἀπολύτρωσις 139,3.
Ἀπόμαγμα 97,2.
Ἀποστασία 161,4.
Ἀποστολὴ 115,2.
